16. *περιτρόχαλα κείρεσθαι* bez. überhaupt den rundlichen Haarschnitt, den auch die Hellenen übten; das die Arabier Unterscheidende bestand in dem Wegscheren der Schläfenhaare, wodurch der Kreis ein bedeutend engerer ward, indem die überhängenden Haare ringsum an der Grenze des Haarwuchses wegfielen. Der Dichter Choerilos sagt Fr. 41 (Naeke) von einem syrischen oder arabischen Stamme, sie seien *τροχοκουράδες*. 3 Mos. 19 27 werden die Israeliten gewarnt, 'nicht die Ecken des Hauptes rund abzuschneiden und die Ecken des Bartes zu zerstören', und Jeremia 9 25 spricht von denen 'mit beschorenen Haarecken, die in der Wüste wohnen'. Vgl. auch IV 175. — Wegen des adverbialen *περιτρόχαλα* vgl. zu I 4 8.

18. Den Namen *Ὀροτάλτ* erklärt Movers Phöniz. I 337 *ôrath êl* = *ignis dei*, 'vielleicht mit Beziehung auf die vielfachen Erscheinungen des Gottes im heiligen Elemente als Licht, Feuer, Flamme u. s. w.' — Auch die *Ἀλιλάτ* ist eine Lichtgöttin. Die mask. Form des Namens hat Jesaia 14 12 *hêlêl* 'Morgenstern' mit dem Zusatze 'Sohn der Morgenröte'. Über ihr Wesen als *Οὐρανίη* zu I 105 7.

9. 3. *ἀσκοὺς καμήλων* 'Schläuche aus Kamelhaut, Kamelschläuche'; vgl. VII 26 *ὁ τοῦ Σιλήνου Μαρσύεω ἀσκός*, 75 *πέδιλα νεβρῶν*. Ähnlich gebrauchte man die Genitive von *βοῦς, λέων, ἀλώπηξ* u. a., um die Häute dieser Tiere zu bezeichnen. Il. *η* 223 *σάκος — ταύρων ζατρεφέων*, Od. *ψ* 201 *ἱμάντα βοός*.

6. *ὁ πιθανώτερος* 'als der glaubwürdigere'.

8f. Weder verlautet sonst etwas Zuverläfsiges von einem arabischen Flusse *Κόρυς*, noch ergiefst sich überhaupt ein bedeutender Flufs (*ποταμὸς μέγας*) aus Arabien in das rote oder das Südmeer (*Ἐρυθρὴ θ.*, zu I 1 7). Die Existenz des Flusses ist wohl wie die ganze Erzählung eine müfsige Hypothese.

Digitized by Google

θάλασσαν· ἀπὸ τούτου δὴ ὧν τοῦ ποταμοῦ λέγεται τὸν βασιλέα τῶν Ἀραβίων, ῥαψάμενον τῶν ὠμοβοέων καὶ τῶν ἄλλων δερμάτων ὀχετὸν μήκεϊ ἐξικνεύμενον ἐς τὴν ἄνυδρον, ἀγαγεῖν διὰ δὴ τούτων τὸ ὕδωρ, ἐν δὲ τῇ ἀνύδρῳ μεγάλας δεξαμενὰς ὀρύξασθαι, ἵνα δεκόμεναι τὸ ὕδωρ σώζωσι (ὁδὸς δ' ἐστὶ δυώδεκα ἡμερέων ἀπὸ τοῦ ποταμοῦ ἐς ταύτην τὴν ἄνυδρον), ἀγαγεῖν δέ μιν δι' ὀχετῶν τριῶν ἐς τριξὰ χωρία.

10 Ἐν δὲ τῷ Πηλουσίῳ καλεομένῳ στόματι τοῦ Νείλου ἐστρατοπεδεύετο Ψαμμήνιτος ὁ Ἀμάσιος παῖς, ὑπομένων Καμβύσεα. Ἄμασιν γὰρ οὐ κατέλαβε ζῶντα Καμβύσης ἐλάσας ἐπ' Αἴγυπτον, ἀλλὰ βασιλεύσας ὁ Ἄμασις τέσσερα καὶ τεσσεράκοντα ἔτεα ἀπέθανε, ἐν τοῖσι οὐδέν οἱ μέγα ἀνάρσιον πρῆγμα συνηνείχθη. ἀποθανὼν δὲ καὶ ταριχευθεὶς ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι ἐν τῷ ἱρῷ, τὰς αὐτὸς οἰκοδομήσατο. ἐπὶ Ψαμμηνίτου δὲ τοῦ Ἀμάσιος βασιλεύοντος Αἰγύπτου φάσμα Αἰγυπτίοισι μέγιστον δὴ ἐγένετο· ὕσθησαν γὰρ Θῆβαι αἱ Αἰγύπτιαι, οὔτε πρότερον οὐδαμὰ ὑσθεῖσαι οὔτε ὕστερον τὸ μέχρι ἐμεῦ, ὡς λέγουσι αὐτοὶ Θηβαῖοι· οὐ γὰρ

15 f. Die Parenthese macht der Vf., um die Übertreibung des Berichtes hervorzuheben.

16. *μιν, τὸν βασιλέα.*

Schlacht bei Pelusion. Eroberung des Landes. Schicksal des Psammenit. Die Leiche des Amasis (c. 10—16).

10. Vgl. zu II 141 17 über die Bedeutung Pelusions für die Landesverteidigung; über den Nilarm II 17.

2. *Ψαμμήνιτος*, bei Manethos *Ψαμμεχερίτης*, aeg. PSaMeTiK (der III. dieses Namens in der 26. oder saitischen Dynastie; zu II 152 1. 160 1).

4. Auch in den manethonischen Listen hat Amasis eine Regierungsdauer von 44 J., 570—526 v. Chr.

6. *μέγα ἀνάρσιον*, wie *μέγα πλούσιος* I 32. VII 190, *μέγα ὄλβιος* VI 23, *μέγα νήπιος* I 85 in einem Orakelverse.

6 f. S. II 169 19 ff.

9. *φάσμα, ostentum, portentum.* Noch jetzt rufen die ägptischen Arabier beim Regen: 'Wunder!'

10 ff. *δή*, zur Steigerung des Superlativs, wie VII 170 18 u. s. — *Θῆβαι*, hier wie II 15 22, nicht blofs die Stadt sondern auch die umliegende Provinz (*Θηβαΐς*). — So selten, wie man hiernach glauben sollte, ist übrigens der Regen in Oberägypten nicht. Neuere Reisende (Champollion, Wilkinson, Lepsius, Brugsch) berichten von kurzen Regenschauern. — *ψακάδι* kollektivisch, 'mit nur tropfenweis fallendem Regen'. Aelian. nat. an. VI 41 sagt dafür *ῥανίσι λεπταῖς*. Äschyl. Ag. 1534 stellt *ὄμβρος* u. *ψακάς* in Gegensatz.

Digitized by Google

δὴ ὕεται τὰ ἄνω τῆς Αἰγύπτου τὸ παράπαν· ἀλλὰ καὶ τότε ὕσθησαν αἱ Θῆβαι ψακάδι. οἱ δὲ Πέρσαι ἐπείτε 11
διεξελάσαντες τὴν ἄνυδρον ἵζοντο πέλας τῶν Αἰγυπτίων ὡς συμβαλέοντες, ἐνθαῦτα οἱ ἐπίκουροι οἱ τοῦ Αἰγυπτίου, ἐόντες ἄνδρες Ἕλληνές τε καὶ Κᾶρες, μεμφόμενοι τῷ Φάνῃ ὅτι στρατὸν ἤγαγε ἐπ᾽ Αἴγυπτον ἀλλόθροον, μηχανῶνται πρῆγμα ἐς αὐτὸν τοιόνδε. ἦσαν τῷ Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι· τοὺς ἀγαγόντες ἐς τὸ στρατόπεδον καὶ ἐς ὄψιν τοῦ πατρός, κρητῆρα ἐν μέσῳ ἔστησαν ἀμφοτέρων τῶν στρατοπέδων, μετὰ δὲ ἀγινέοντες κατὰ ἕνα ἕκαστον τῶν παίδων ἔσφαζον ἐς τὸν κρητῆρα· διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων οἶνόν τε καὶ ὕδωρ ἐσεφόρεον ἐς αὐτόν, ἐμπιόντες δὲ τοῦ αἵματος πάντες οἱ ἐπίκουροι οὕτω δὴ συνέβαλον. μάχης δὲ γενομένης καρτερῆς καὶ πεσόντων ἐξ ἀμφοτέρων τῶν στρατοπέδων πλήθεϊ πολλῶν ἐτράποντο οἱ Αἰγύπτιοι.

Θῶμα δὲ μέγα εἶδον πυθόμενος παρὰ τῶν ἐπιχω- 12
ρίων· τῶν γὰρ ὀστέων περικεχυμένων χωρὶς ἑκατέρων τῶν ἐν τῇ μάχῃ ταύτῃ πεσόντων (χωρὶς μὲν γὰρ τῶν Περσέων ἐκέετο τὰ ὀστέα, ὡς ἐχωρίσθη κατ᾽ ἀρχάς, ἑτέρωθι δὲ τῶν Αἰγυπτίων), αἱ μὲν τῶν Περσέων κε-

11. 7. *τούς*: zum relativischen Anschluſs vgl. c. 4 11. 15 4. Die Zahl der Söhne scheint ausgefallen; daſs es nicht wenige waren, zeigt *πάντες* (13).

10 f. *κατὰ ἕνα ἕκαστον*, *singulos*. Zu I 9 11. — *ἔσφαζον ἐς τὸν κρητῆρα*, so daſs das Blut in den Kessel floſs. Vgl. IV 62 18. V 5 7. VII 113 9. Äschyl. Sieben 43 *ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος*, Xen. An. II 2 *σφάξαντες εἰς ἀσπίδα*. — *διεξελθόντες*, nämlich *σφάζοντες*; vgl. I 196 *ὡς γὰρ δὴ διεξέλθοι ὁ κῆρυξ πωλέων*.

12. *ἐμπιόντες*: vgl. IV 64 3. Das Trinken von Menschenblut sollte wohl die vor der Schlacht beschworne Schwertgenossenschaft bekräftigen, und hing vielleicht mit dem Kult des karischen *Ζεὺς στράτιος* (zu V 119 8) zusammen. Vgl. die Schwur-ceremonie der Skythen IV 70. Sallust. Cat. 22 *fuere ea tempestate qui dicerent, Catilinam oratione habita quum ad iusiurandum popularis sceleris sui adigeret, humani corporis sanguinem vino permixtum in pateris circumtulisse; inde quum post exsecrationem omnes degustavissent sicut in sollemnibus sacris fieri consuevit* cet.

14. *ἐξ* wäre entbehrlich, wenn auch *τῶν στρατοπέδων* fehlte.

12. 4. *κατ᾽ ἀρχάς*, beim Begraben der Toten.

5. *κεφαλαί*, Schädel (IV 65 11).

Digitized by Google

φαλαὶ εἰσὶ ἀσθενέες οὕτω ὥστε, εἰ θέλεις ψήφῳ μούνῃ βαλεῖν, διατετρανέεις, αἱ δὲ τῶν Αἰγυπτίων οὕτω δή τι ἰσχυραί, μόγις ἂν λίθῳ παίσας διαρρήξειας. αἴτιον δὲ τούτου τόδε ἔλεγον, καὶ ἐμέ γ' εὐπετέως ἔπειθον, ὅτι Αἰγύπτιοι μὲν αὐτίκα ἀπὸ παιδίων ἀρξάμενοι ξυρῶνται τὰς κεφαλὰς καὶ πρὸς τὸν ἥλιον παχύνεται τὸ ὀστέον. τῶυτὸ δὲ τοῦτο καὶ τοῦ μὴ φαλακροῦσθαι αἴτιον ἐστί· Αἰγυπτίων γὰρ ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων. τούτοισι μὲν δὴ τοῦτο ἐστὶ αἴτιον ἰσχυρὰς φορέειν τὰς κεφαλάς, τοῖσι δὲ Πέρσῃσι ὅτι ἀσθενέας φορέουσι τὰς κεφαλὰς αἴτιον τόδε· σκιητροφέουσι ἐξ ἀρχῆς πίλους τιάρας φορέοντες. ταῦτα μέν νυν τοιαῦτα· εἶδον δὲ καὶ ἄλλα ὅμοια τούτοισι ἐν Παπρήμι ⟨ἐπὶ⟩ τῶν ἅμα Ἀχαιμένεϊ τῷ Δαρείου διαφθαρέντων ὑπὸ Ἰνάρω τοῦ Λίβυος.

13 *Οἱ δὲ Αἰγύπτιοι ἐκ τῆς μάχης ὡς ἐτράποντο, ἔφευγον οὐδενὶ κόσμῳ· κατειληθέντων δὲ ἐς Μέμφιν, ἔπεμπε ἀνὰ ποταμὸν Καμβύσης νέα Μυτιληναίην κήρυκα ἄγουσαν ἄνδρα Πέρσην, ἐς ὁμολογίην προκαλεόμενος Αἰγυπτίους. οἱ δὲ ἐπείτε τὴν νέα εἶδον ἐσελθοῦσαν ἐς*

6. *εἰ θέλεις*: zu I 32 13.

8. *μόγις ἄν — διαρρήξειας* asyndetisch nach *οὕτω δή τι*, wie c. 108 10. Vgl. zu I 163 11. III 120 14.

15. *φορέειν* = *ἔχειν*, von Körperteilen wie II 68 19. III 101 3. Vom fehlenden Artikel zu II 20 6.

16 f. *σκιητροφέουσι* kann weder intransitiv genommen werden (in diesem Sinne VI 12 23 medial), noch darf man *τὰ παιδία* als Objekt ergänzen wegen des Zusatzes *πίλους τιάρας φορέοντες*. Vielmehr ist aus dem Frühern *τὰς κεφαλάς* als Objekt heranzuziehen, 'sie verweichlichen die Köpfe, indem sie von Jugend auf Tiaren tragen'. — *πίλους* Filzhüte, erklärender Zusatz zu dem fremden *τιάρας* (VII 61 2), gerade wie VII 64 *ἀξίνας σαγάρις εἶχον* das fremde *σαγάρις* durch *ἀξίνας* erklärt wird. Vgl. zu I 72 8. (Andere halten *πίλους* u. *ἀξίνας* für unecht.)

18 f. *ἐν Παπρήμι*: zu II 63 2. — *ἐπί* 'an', wie IX 83 *ἐφάνη δὲ καὶ τόδε ὕστερον ἐπὶ τούτων τῶν νεκρῶν*. — Achaemenes, Sohn des Dareios und der Atossa, Vollbruder des Xerxes (VII 97 5), Satrap von Ägypten bis 460 v. Chr. Über seinen Tod und den Aufstand des Inaros zu c. 15 11.

13. 3. *νέα Μυτιληναίην*, wahrscheinlich aus Naukratis, wo Mytilenäer ansessig waren (II 178 11), nicht aus der den König begleitenden Hilfsflotte; denn Lesbos war nebst den meisten andern Inseln noch frei (I 151). Also ein neutrales Schiff.

Digitized by Google

τὴν Μέμφιν, ἐκχυθέντες ἁλέες ἐκ τοῦ τείχεος τήν τε νέα διέφθειραν καὶ τοὺς ἄνδρας κρεουργηδὸν διασπάσαντες ἐφόρεον ἐς τὸ τεῖχος. καὶ Αἰγύπτιοι μὲν μετὰ τοῦτο πολιορκεύμενοι χρόνῳ παρέστησαν, οἱ δὲ προσεχέες Λίβυες δείσαντες τὰ περὶ τὴν Αἴγυπτον γεγονότα παρέδοσαν σφέας αὐτοὺς ἀμαχητὶ καὶ φόρον τε ἐτάξαντο καὶ δῶρα ἔπεμπον. ὡς δὲ ⟨καὶ⟩ Κυρηναῖοι καὶ Βαρκαῖοι, δείσαντες ὁμοίως καὶ οἱ Λίβυες, τοιαῦτα ἐποίησαν. Καμβύσης δὲ τὰ μὲν παρὰ Λιβύων ἐλθόντα δῶρα φιλοφρόνως ἐδέξατο· τὰ δὲ παρὰ Κυρηναίων ἀπικόμενα μεμφθείς, ὡς ἐμοὶ δοκέει, ὅτι ἦν ὀλίγα· ἔπεμψαν γὰρ δὴ πεντακοσίας μνέας ἀργυρίου οἱ Κυρηναῖοι· ταύτας δρασσόμενος αὐτοχειρίῃ διέσπειρε τῇ στρατιῇ.

6. *ἁλέες* = *ἀθρόοι, πανδημεί.* — *ἐκ τοῦ τείχεος*: die Stadt Memphis war durch ihre ungemein feste Lage der Schlüssel zu Mittel- und Oberägypten. Auf der Ostseite vom Nil, auf der West- und Nordseite durch künstliche Seen eingeschlossen, wurde sie von S. durch die hier auf einem gegen den Nil aufgeführten Damme erbaute alte Königsburg, *Λευκὸν τεῖχος* (auch blofs *τὸ τεῖχος*: äg. *sebt h'et*) beschützt (II 99, Strabon p. 808. Diodor I 50). Diese 'Weifsenburg' war später der Stationsplatz der persischen Besatzung (c. 91. Thuk. I 104). Sie war der älteste Teil von Memphis, und nach ihr wurde sowohl der memphitische Nomos ('N. der weifsen Mauer') als auch die Stadt selber benannt.

7. *τοὺς ἄνδρας*: ihre Zahl zu c. 14 19. — *κρεουργηδόν*, nach Art der *κρεουργοί*.

9. *χρόνῳ* steht wie *χρόνον* immer mit dem Nebenbegriff der längeren Dauer. — *παρέστησαν*: zu c. 45 14. — *προσεχέες*, sc. *Αἰγύπτῳ*. Darunter sind wohl die zwischen Ägypten im O. und Kyrene und Barke im W. ansessigen Libyer, also die *Ἀδυρμαχίδαι Γιλιγάμαι Ἀσβύσται Αὐσχίσαι* und *Βάκαλες* (IV 168 ff.) begriffen. Seit König Apries waren sie bald den Ägyptiern, bald den Kyrenäern botmäfsig gewesen (IV 159 f.): zuletzt hatten sie mit diesen zusammen gegen Kambyses Zuzug geleistet. Diodor Fr. p. 619 Wess. *ὅτι Καμβύσου τοῦ Περσῶν βασιλέως κυριεύσαντος πάσης Αἰγύπτου, πρὸς τοῦτον οἱ Λίβυες καὶ Κυρηναῖοι, συνεστρατευκότες τοῖς Αἰγυπτίοις, ἀπέστειλαν δῶρα καὶ τὸ προσταττόμενον ποιήσειν ἐπηγγείλαντο.*

11. *τάσσεσθαι φόρον*, 'sich einen Tribut auflegen', wird von Personen, Städten und Völkern gesagt, die sich durch freiwilliges Angebot oder nach Übereinkunft und Abmachung zu regelmäfsiger Tributzahlung verpflichten und dadurch in ein festes tributäres Verhältnis treten. IV 165 *Ἀρκεσίλεως δὲ Κυρήνην Καμβύσῃ ἔδωκε καὶ φόρον ἐτάξατο*, 35 7. Vgl. c. 97 *δῶρα τὰ ἐτάξαντο*.

12 f. *ὡς δὲ — τοιαῦτα* 'ebenso, desgleichen'. — Es war König Arkesilaos III, der sich der persischen Herrschaft unterwarf (IV 165).

16. *μεμφθείς* 'gering schätzend' (I 77 3).

Digitized by Google

14 Ἡμέρῃ δὲ δεκάτῃ ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μῆνας ἕξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς ποιέων τοιάδε· στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουλίῃ ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν ὑδρήιον, συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, δμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρήισαν αἱ παρθένοι παρὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πάντες ἀντεβόων τε καὶ ἀντέκλαιον ὁρῶντες τὰ τέκνα κεκακωμένα, ὁ δὲ Ψαμμήνιτος προιδὼν καὶ μαθὼν ἔκυψε ἐς τὴν γῆν. παρελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερά οἱ τὸν παῖδα ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων, τούς τε αὐχένας κάλῳ δεδεμένους καὶ τὰ στόματα ἐγκεχαλινωμένους· ἦγοντο δὲ ποινὴν τίσοντες Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηΐ. ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήιοι δικασταί, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλλυσθαι. ὁ δὲ ἰδὼν παρεξιόντας καὶ μαθὼν τὸν παῖδα ἡγεόμενον ἐπὶ θάνατον, τῶν ἄλλων

14. 2. *ἐπὶ λύμῃ* 'um ihm einen Schimpf anzuthun' (zu II 121 δ 29). Es war eine entehrende Schaustellung.

4. *τοῦτον κατίσας* nimmt den Inhalt des vorhergehenden Nebensatzes mit einem gewissen Nachdruck wieder auf. Ähnlich II 100 *τὴν ἔλεγον τιμωρέουσαν ἀδελφεῷ, τὸν Αἰγύπτιοι βασιλεύοντα σφέων ἀπέκτειναν - τούτῳ τιμωρέουσαν πολλοὺς Αἰγυπτίων διαφθεῖραι δόλῳ*, 152 3. IV 145 6. VI 42 10. Viel häufiger noch ist die Epanalepsis durch einfaches *οὗτος*, zuweilen ganz nahe dem Beziehungsworte (I 108 4).

5. *ψυχή* 'Mut, Seelenstärke' (c. 108 5. V 124 2. VII 153 20).

6. *ἀξέπεμπε ἐπ' ὕδωρ*: Il. ζ 454 Hektor zur Andromache *ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων Δαχρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας, - Καὶ κεν ὕδωρ φορέοις.*

12. *κεκακωμένα*, calamitate afflictas, — *μαθών*, von sinnlicher Wahrnehmung; zu VII 37 10.

16. *δεδεμένους*, frei bezogen auf *τὸν παῖδα μετ' ἄλλων*.

18. Von dem persischen Gerichtshofe s. c. 31.

19. *δέκα*: da im Ganzen 2000 hingerichtet wurden (15), müfste hiernach die Zahl der umgebrachten Mytilenäer 200 betragen haben. Dies war die gewöhnliche Stärke der Mannschaft auf Trieren (VII 184. VIII 17), aber nicht auf Handelsschiffen.

21. *ἡγεόμενον*, näml. *τοῖσι παρεξιοῦσι* 'als ihren Führer, an ihrer Spitze auf dem Wege zum Tode'.

Digitized by Google

Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τὠυτὸ ἐποίησε τὸ καὶ ἐπὶ τῇ θυγατρί. παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥστε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικέστερον, ἐκπεπτωκότα ἐκ τῶν ἐόντων ἔχοντά τε οὐδὲν εἰ μὴ ὅσα πτωχὸς καὶ προσαιτέοντα τὴν στρατιήν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους Αἰγυπτίων. ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα καὶ καλέσας ὀνομαστὶ τὸν ἑταῖρον ἐπλήξατο τὴν κεφαλήν. ἦσαν δ' ἄρα αὐτοῦ φύλακοι, οἱ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ ἐξόδῳ Καμβύσῃ ἐσήμαινον. θωμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα, πέμψας ἄγγελον εἰρώτα αὐτὸν λέγων τάδε. „δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ δι' ὅ τι δὴ τὴν μὲν θυγατέρα ὁρέων κεκακωμένην καὶ τὸν παῖδα ἐπὶ θάνατον στείχοντα οὔτε ἀνέβωσας οὔτε ἀπέκλαυσας, τὸν δὲ πτωχὸν οὐδὲν σοὶ προσήκοντα, ὡς ἄλλων πυνθάνεται, ἐτίμησας.“ ὁ μὲν δὴ ταῦτα ἐπειρώτα, ὁ δ' ἀμείβετο τοῖσιδε. „ὦ παῖ Κύρου, τὰ μὲν οἰκήια ἦν μέζω κακὰ ἢ ὥστε ἀνακλαίειν, τὸ δὲ τοῦ ἑταίρου πένθος ἄξιον ἦν δακρύων, ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν ἐς πτωχηίην ἀπῖκται ἐπὶ γήραος οὐδῷ.“ καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου εὖ δοκέειν σφι εἰρῆσθαι, ὡς [δὲ] λέγεται ὑπ' Αἰγυπτίων, δακρύειν μὲν Κροῖσον (ἐτετεύχεε γὰρ καὶ οὗ-

23. *δεινὰ ποιέειν*, Zeichen des Schreckens und Schmerzes von sich geben. S. zu II 121 *ε* 2.

25. *οἱ*: zu c. 3 10. — *Ἀφηλικέστεροι, οἱ πρεσβύτεροι, ὡς ἀπὸ τῆς ἡλικίας ὄντες· ἡλικίαν γὰρ ἔλεγον καὶ τὴν νεότητα οἱ ἀρχαῖοι.* Bekk. Anecd. p. 3. — *ἐκπεπτωκότα, eiectum.* — *τὰ ἐόντα* = *ἡ οὐσία* (I 92 13), 'Habe'.

32. *ἐξ* = *ὑπὸ*.

33. *πέμψας ἄγγελον εἰρώτα* 'liefs durch einen Boten fragen'. Vgl. V 24 3. Daher *λέγων τάδε*. Und in der Antw. richtet der Gefragte seine Worte unmittelbar an den König.

35. *δι' ὅ τι*, wie c. 32 10. VI 105 8.

40. Vgl. Bakchylides Fr. 11 *μεῖζον ἢ πενθεῖν ἐφάνη κακόν.*

41. *πένθος* hier = *πάθος*. Vgl. *βένθος βάθος.*

43 f. *ἐπὶ γήραος οὐδῷ*, homerischer Tropus, der aber in allgemeinen Gebrauch übergegangen ist. Il. *χ* 60 nennt sich Priamos *δύσμορον ὃν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ Αἴσῃ ἐν ἀργαλέῃ φθίσει.* — *ὡς — δοκέειν*: vom Infinitiv zu I 24 30. *ὡς λέγεται* geht auf den folgenden Hauptsatz und veranlafst die infinite Form desselben (s. zu I 64 20).

Digitized by Google

14 Ἡμέρῃ δὲ δεκάτῃ ἀπ᾽ ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μῆνας ἕξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς ποιέων τοιάδε· στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουληίῃ ἐξέπεμπε ἐπ᾽ ὕδωρ ἔχουσαν ὑδρήιον, συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρήισαν αἱ παρθένοι παρὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πάντες ἀντεβόων τε καὶ ἀντέκλαιον ὁρῶντες τὰ τέκνα κεκακωμένα, ὁ δὲ Ψαμμήνιτος προιδὼν καὶ μαθὼν ἔκυψε ἐς τὴν γῆν. παρελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερά οἱ τὸν παῖδα ἔπεμπε μετ᾽ ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων, τούς τε αὐχένας κάλῳ δεδεμένους καὶ τὰ στόματα ἐγκεχαλινωμένους· ἤγοντο δὲ ποινὴν τίσοντες Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηί. ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήιοι δικασταί, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλλυσθαι. ὁ δὲ ἰδὼν παρεξιόντας καὶ μαθὼν τὸν παῖδα ἡγεόμενον ἐπὶ θάνατον, τῶν ἄλλων

14. 2. *ἐπὶ λύμῃ* 'um ihm einen Schimpf anzuthun' (zu II 121 *δ* 29). Es war eine entehrende Schaustellung.

4. *τοῦτον κατίσας* nimmt den Inhalt des vorhergehenden Nebensatzes mit einem gewissen Nachdruck wieder auf. Ähnlich II 100 *τὴν ἔλεγον τιμωρέουσαν ἀδελφεῷ, τὸν Αἰγύπτιοι βασιλεύοντα σφέων ἀπέκτειναν - τούτῳ τιμωρέουσαν πολλοὺς Αἰγυπτίων διαφθεῖραι δόλῳ*, 152 3. IV 145 6. VI 42 10. Viel häufiger noch ist die Epanalepsis durch einfaches *οὗτος*, zuweilen ganz nahe dem Beziehungsworte (I 108 4).

5. *ψυχή* 'Mut, Seelenstärke' (c. 108 5. V 124 2. VII 153 20).

6. *ἐξέπεμπε ἐπ᾽ ὕδωρ*: Il. *ζ* 454 Hektor zur Andromache *ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων Δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας, - Καί κεν ὕδωρ φορέοις.*

12. *κεκακωμένα*, *calamitate afflictas*, — *μαθών*, von sinnlicher Wahrnehmung; zu VII 37 10.

16. *δεδεμένους*, frei bezogen auf *τὸν παῖδα μετ᾽ ἄλλων*.

18. Von dem persischen Gerichtshofe s. c. 31.

19. *δέκα*: da im Ganzen 2000 hingerichtet wurden (15), müfste hiernach die Zahl der umgebrachten Mytilenäer 200 betragen haben. Dies war die gewöhnliche Stärke der Mannschaft auf Trieren (VII 184. VIII 17), aber nicht auf Handelsschiffen.

21. *ἡγεόμενον*, näml. *τοῖσι παρεξιοῦσι* 'als ihren Führer, an ihrer Spitze auf dem Wege zum Tode'.

Digitized by Google

Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τὠυτὸ ἐποίησε τὸ καὶ ἐπὶ τῇ θυγατρί. παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥστε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικέστερον, ἐκπεπτωκότα ἐκ τῶν 25
ἐόντων ἔχοντά τε οὐδὲν εἰ μὴ ὅσα πτωχὸς καὶ προσαιτέοντα τὴν στρατιήν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους Αἰγυπτίων. ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα καὶ καλέσας ὀνομαστὶ τὸν ἑταῖρον ἐπλήξατο τὴν κεφα- 30
λήν. ἦσαν δ' ἄρα αὐτοῦ φύλακοι, οἱ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ ἐξόδῳ Καμβύσῃ ἐσήμαινον. θωμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα, πέμψας ἄγγελον εἰρώτα αὐτὸν λέγων τάδε. „δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ δι' ὅ τι δὴ τὴν μὲν θυγατέρα 35
ὁρέων κεκακωμένην καὶ τὸν παῖδα ἐπὶ θάνατον στείχοντα οὔτε ἀνέβωσας οὔτε ἀπέκλαυσας, τὸν δὲ πτωχὸν οὐδὲν σοὶ προσήκοντα, ὡς ἄλλων πυνθάνεται, ἐτίμησας.“ ὁ μὲν δὴ ταῦτα ἐπειρώτα, ὁ δ' ἀμείβετο τοῖσιδε. „ὦ παῖ Κύρου, τὰ μὲν οἰκήια ἦν μέζω κακὰ ἢ ὥστε 40
ἀνακλαίειν, τὸ δὲ τοῦ ἑταίρου πένθος ἄξιον ἦν δακρύων, ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν ἐς πτωχηίην ἀπῖκται ἐπὶ γήραος οὐδῷ.“ καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου εὖ δοκέειν σφι εἰρῆσθαι, ὡς [δὲ] λέγεται ὑπ' Αἰγυπτίων, δακρύειν μὲν Κροῖσον (ἐτετεύχεε γὰρ καὶ οὗ- 45

23. *δεινὰ ποιέειν*, Zeichen des Schreckens und Schmerzes von sich geben. S. zu II 121 *ε* 2.

25. *οἱ*: zu c. 3 10. — *Ἀφηλικέστεροι, οἱ πρεσβύτεροι, ὡς ἀπὸ τῆς ἡλικίας ὄντες· ἡλικίαν γὰρ ἔλεγον καὶ τὴν νεότητα οἱ ἀρχαῖοι.* Bekk. Anecd. p. 3. — *ἐκπεπτωκότα, eiectum.* — *τὰ ἐόντα* = *ἡ οὐσία* (I 92 13), 'Habe'.

32. *ἐξ* = *ὑπὸ*.

33. *πέμψας ἄγγελον εἰρώτα* 'liefs durch einen Boten fragen'. Vgl. V 24 3. Daher *λέγων τάδε*. Und in der Antw. richtet der Gefragte seine Worte unmittelbar an den König.

35. *δι' ὅ τι*, wie c. 32 10. VI 105 8.

40. Vgl. Bakchylides Fr. 11 *μεῖζον ἢ πενθεῖν ἐφάνη κακόν.*

41. *πένθος* hier = *πάθος*. Vgl. *βένθος βάθος.*

43 f. *ἐπὶ γήραος οὐδῷ*, homerischer Tropus, der aber in allgemeinen Gebrauch übergegangen ist. Il. *χ* 60 nennt sich Priamos *δύσμορον ὃν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ Αἴσῃ ἐν ἀργαλέῃ φθίσει.* — *ὡς — δοκέειν*: vom Infinitiv zu I 24 30. *ὡς λέγεται* geht auf den folgenden Hauptsatz und veranlafst die infinite Form desselben (s. zu I 64 20).

Digitized by Google

Digitized by Google

τήν οἱ ὁ πατὴρ εἶχε ἀρχήν, καὶ τῷ Ἀμυρταίου Παυσίρι· καὶ γὰρ οὗτος ἀπέλαβε τὴν τοῦ πατρὸς ἀρχήν. καίτοι Ἰνάρω γε καὶ Ἀμυρταίου οὐδαμοὶ κω Πέρσας κακὰ πλέω ἐργάσαντο. νῦν δὲ μηχανώμενος κακὰ ὁ 15
Ψαμμήνιτος ἔλαβε τὸν μισθόν· ἀπιστὰς γὰρ Αἰγυπτίους ἦλω· ἐπείτε δὲ ἐπάιστος ἐγένετο ὑπὸ Καμβύσεω, αἷμα ταύρου πιὼν ἀπέθανε παραχρῆμα. οὕτω δὴ οὗτος ἐτελεύτησε.

Καμβύσης δὲ ἐκ Μέμφιος ἀπίκετο ἐς Σάιν πόλιν, 16
βουλόμενος ποιῆσαι τὰ δὴ καὶ ἐποίησε. ἐπείτε γὰρ ἐσῆλθε ἐς τὰ τοῦ Ἀμάσιος οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς ταφῆς τὸν Ἀμάσιος νέκυν ἐκφέρειν ἔξω· ὡς δὲ ταῦτα

Schicksal ist unbekannt; er ist aber wohl zu scheiden von dem gleichnamigen Könige der 28. manethonischen Dynastie, der 405-400 v. Chr. Ägypten gegen Artaxerxes Mnemon behauptete. Wahrscheinlich war dieser letztere Amyrtaeos ein Urenkel jenes älteren, beide aber Abkömmlinge der letzten Dynastie und die legitimen Erbfolger. — *οἱ ὁ πατήρ* 'sein Vater' (I 34 16).

15. *νῦν δέ*, Gegensatz zu dem oben 5 aufgestellten hypothetischen Falle. — *μηχανώμενος κακά*, homerisch. Od. ρ 499 *ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται.*

18. Das Trinken von Ochsenblut galt bei den Alten für tödlich, angeblich weil das Blut sofort gerinnt und den Trinker erstickt (Schol. Nikandr. Alexiph. 312. Arist. hist. an. III 19). Die Unschädlichkeit ist heute nicht mehr zweifelhaft (Roscher J. f. Ph. 127, 158 ff.).

16. In der hieroglyphischen Inschrift einer (jetzt im Vatikan befindlichen) Bildsäule erzählt der 'Oberste der Ärzte' Uzahorenpiris, Sohn des Oberpriesters der Göttin Neith in Saïs, die Eroberung Ägyptens durch *Kambathet* (*Καμβύσης*), seine Reise nach Saïs, seine Verdienste um Herstellung und Reinigung des Neith- (od. Athena-)tempels und der alten Kulte, sowie des Tempelvermögens, und läfst ihn überhaupt in einem viel günstigeren Lichte erscheinen als ihn die Autoren nach populärer Kunde darstellen. 'Da gab der König den Befehl hinauszutreiben alle Fremden, welche sich niedergelassen hatten in dem Gotteshause der Neith . . ., zu reinigen dieses Gotteshaus der Neith . . ., zurückzugeben das heilige Vermögen der Neith . . ., wieder aufzurichten die Ordnung aller ihrer Feste und aller ihrer Umzüge . . . Nachdem der König Kambathet nach Saïs gekommen war, begab er sich selber in das Gotteshaus der Neith. Er bezeugte seine Verehrung der grofsen Göttin in jeder guten Weise, und den grofsen Göttern in Saïs, wie es gethan hatten alle frommen Könige' (Brugsch Gesch. Ägyptens 748 f.).

3. *οἰκία* = *βασιλήια* (II 163 4. 169 10), 'Königshaus'. So auch I 35 5. 98 5. III 140 8.

4. Die Grabstätten der saïtischen Könige befanden sich im Tempel der Neith zu Saïs; die des Amasis, die er sich selber hatte erbauen lassen, wird II 169 beschrieben (vgl. c. 10 7). Hier aber spricht der Vf.

Digitized by Google

ἐπιτελέα ἐγένετο, μαστιγοῦν ἐκέλευε καὶ τὰς τρίχας ἀποτίλλειν καὶ κεντοῦν τε καὶ τἆλλα πάντα λυμαίνεσθαι. ἐπείτε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες (ὁ γὰρ δὴ νεκρὸς ἄτε τεταριχευμένος ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο), ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελλόμενος οὐκ ὅσια· Πέρσαι γὰρ θεὸν νομίζουσι εἶναι πῦρ. τὸ ὦν κατακαίειν γε τοὺς νεκροὺς οὐδαμῶς ἐν νόμῳ οὐδετέροισι ἐστί, Πέρσῃσι μὲν δι' ὃ περ εἴρηται, θεῷ οὐ δίκαιον εἶναι λέγοντες νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ κατεσθίειν τά περ ἂν λάβῃ, πλησθὲν

so als wenn das Grabmal sich im Königshause selber befunden hätte. Vielleicht bildete dieses mit dem Tempel ein Ganzes, was auch sonst wohl vorkam, z. B. bei einem Tempelbau Ramses' III in Medinet-Habu. — *ἐκφέρειν ἔξω*, häufige Abundanz wie IV 146 *ἐξήισαν ἔξω*, V 103 *ἐκπλώσαντες ἔξω*, IX 11 *ἐξεληλύθεσαν ἔξω Σπάρτης*. Ähnlich c. 78 in *ἀνέδραμον πάλιν*, IV 34 *ἔσω ἐς τὸ Ἀρτεμίσιον ἐσιόντι*, VIII 16 *διέστησαν χωρίς*, besonders oft bei *ὀπίσω* (c. 26 *ὀπίσω ἐνόστησαν*). S. zu I 2 3.

6. *καὶ τἆλλα πάντα* (= *καὶ τὰς ἄλλας πάσας λύμας*) *λυμαίνεσθαι* 'und ihm jede sonst noch mögliche Schmach anzuthun'. Vgl. zum Ausdruck VI 57 *τὠυτὸ δὲ τοῦτο-τιμᾶσθαι*.

7. 'Als sie aber auch dies bis zur Ermüdung gethan hatten'.

8. *διεχέετο* 'wurde zerteilt, zerfiel'. Ähnlich Homer *διαχέειν* von Zerteilung des Opferstiers, Il. *η* 316 *τὸν δέρον ἀμφὶ δ' ἔπον καὶ μιν διέχευαν ἅπαντα*.

11 f. *τὸ ὦν κατακαίειν γε*: die sonstige Mifshandlung des Körpers verstiefs an sich gegen kein religiöses Gebot weder der Perser noch der Ägyptier: diese erlaubten sich mannigfache Verstümmelung und Zurichtung der Leichen bei der Bestattung (II 86 ff.), bei jenen liefsen die Frömmsten sie durch Hunde und Vögel fressen (I 140). — Vom Feuerdienst vgl. zu I 131 9. Strabon p. 732 *διαφερόντως δὲ τῷ πυρὶ καὶ τῷ ὕδατι θύουσι* (*Πέρσαι*) . . ., *τοὺς δὲ φυσήσαντας* (*πῦρ*) *ἢ νεκρὸν ἐπὶ πῦρ θέντας ἢ βόλβιτον θανατοῦσι*. Ders. 733 *ὅτῳ δ' ἂν θύσωσι θεῷ, πρώτῳ τῷ πυρὶ εὔχονται*. Das Avesta verspricht dem Feuerverehrer reiche Vergeltung: 'wer zuerst zum Feuer (dem Sohne) Ahuramazdas reines Brennholz hinbringt mit gewaschenen Händen, den wird das Feuer segnen' u. s. w. (Vendidad XVIII 56). Dagegen das Verbrennen der Toten zählt es zu den 'schlechten unaussühnbaren Handlungen' (Vend. I 66), und erklärt diejenigen, 'welche einen Leichnam mit Unrat zum Wasser oder Feuer mit Unreinigkeit hinzubringen' für unrein und Beförderer des Bösen (Vend. VII 65). Vgl. I 140.

13. *λέγοντες*, nur dem Sinne nach an *ἐν νόμῳ ἐστὶ Πέρσῃσι* (= *νομίζουσι Πέρσαι*) angeschlossen. Ähnlich IV 132 *Δαρείου ἡ γνώμη ἦν — εἰκάζων*, VII 177 4. VIII 49 8. Anderes zu I 51 16. VIII 74 9. — *νέμειν*, eig. *tribuere*, wofür unten 17 und I 86 37 *διδόναι*, I 216 *δατέεσθαι*, ist hier gewählt, weil man *πυρὶ νέμειν τι* sagte (VI 33 13).

Digitized by Google

δὲ αὐτὸ τῆς βορῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ. οὔκων θηρίοισι νόμος οὐδαμῶς σφι ἐστὶ τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύουσι, ἵνα μὴ κείμενος ⟨ἐν γῇ⟩ ὑπὸ εὐλέων καταβρωθῇ. οὕτω οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέειν ὁ Καμβύσης. ὡς μέντοι Αἰγύπτιοι λέγουσι, οὐκ Ἄμασις ἦν ὁ ταῦτα παθών, ἀλλὰ ἄλλος τις τῶν Αἰγυπτίων ἔχων τὴν αὐτὴν ἡλικίην Ἀμάσι, τῷ λυμαινόμενοι Πέρσαι ἐδόκεον Ἀμάσι λυμαίνεσθαι. λέγουσι γὰρ ὡς πυθόμενος ἐκ μαντηίου ὁ Ἄμασις τὰ περὶ ἑωυτὸν ἀποθανόντα μέλλοντα γίνεσθαι, οὕτω δὴ ἀκεόμενος τὰ ἐπιφερόμενα τὸν μὲν ἄνθρωπον τοῦτον τὸν μαστιγωθέντα ἀποθανόντα ἔθαψε ἐπὶ τῇσι θύρῃσι ἐντὸς τῆς ἑωυτοῦ θήκης, ἑωυτὸν δὲ ἐνετείλατο τῷ παιδὶ ἐν μυχῷ τῆς θήκης ὡς μάλιστα θεῖναι. αἱ μέν νυν ἐκ τοῦ Ἀμάσιος ἐντολαὶ αὗται αἱ ἐς τὴν ταφήν τε καὶ τὸν ἄνθρωπον ἔχουσαι οὔ μοι δοκέουσι ἀρχὴν γενέσθαι, ἄλλως δ' αὐτὰ Αἰγύπτιοι σεμνοῦν.

Μετὰ δὲ ταῦτα ὁ Καμβύσης ἐβουλεύετο τριφασίας 17
στρατηίας, ἐπί τε Καρχηδονίους καὶ ἐπὶ Ἀμμωνίους καὶ ἐπὶ τοὺς μακροβίους Αἰθιοπας, οἰκημένους δὲ Λιβύης

16. *αὐτό*, *ipsum*, gehört zu *συναποθνήσκειν*. Die Stellung wie I 90 11.

22. *ἡλικίη* hier entsprechend der Bedeutung des Adj. *ἡλίκος* = *μέγεθος σώματος* (Hesych.). Vgl. IV 111 5. Demosth. 40, 56 *τὴν ἡλικίαν αὐτῆς εἰ ἴδοιτε, οὐκ ἂν θυγατέρα μου ἀλλ' ἀδελφὴν εἶναι αὐτὴν νομίσαιτε*. Ev. Matth. 6 27 *προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα*.

26. *τὰ ἐπιφερόμενα*, näml. *κακά* (I 209 16). — *ἀκεόμενος* 'abzuwenden suchend'.

27. *ἔθαψε* 'liefs beisetzen', d. h. er verordnete ihn nach seinem Tode (*ἀποθανόντα*) beizusetzen; vgl. unten *αἱ ἐντολαὶ — αἱ ἐς τὸν ἄνθρωπον ἔχουσαι*.

28. *θήκης*: zu c. 24 2.

29. Verb. *ὡς μάλιστα ἐν μυχῷ*.

32. *ἄλλως* 'eitel, grundlos'; vgl. IV 77 *ὁ λόγος ἄλλως πέπλασται*. V 41 *κομπέειν ἄλλως*. — *αὐτά*, *rem*, die Geschichte von der *ταφή* und den *ἐντολαί*. S. zu I 9 2. — *σεμνοῦν* 'prahlen, ausschmückend darstellen'. I 95 *οἱ μὴ βουλόμενοι σεμνοῦν τὰ περὶ Κῦρον ἀλλὰ τὸν ἐόντα λέγειν λόγον*.

Zug gegen die Äthiopen und gegen die Ammonier (c. 17—26).

17. 2. *Ἀμμωνίους*; zu IV 181 12.

3 f. H. unterscheidet westliche und östliche, oder libysche und asiatische Äthiopen (VII 69 f.). Jene, welche den Südteil Libyens bewohnen (IV 197), das er sich nur etwa bis zum Äquator reichend vorstellt, umfassen sehr verschiedene Volksstämme, deren Gemeinsames die schwarze Hautfarbe ist.

Digitized by Google

ἐπὶ τῇ νοτίῃ θαλάσσῃ· βουλευομένῳ δέ οἱ ἔδοξε ἐπὶ μὲν Καρχηδονίους τὸν ναυτικὸν στρατὸν ἀποστέλλειν, ἐπὶ δὲ Ἀμμωνίους τοῦ πεζοῦ ἀποκρίναντα, ἐπὶ δὲ τοὺς Αἰθίοπας κατόπτας πρῶτον, ὀψομένους τε τὴν ἐν τούτοισι τοῖσι Αἰθίοψι λεγομένην εἶναι ἡλίου τράπεζαν εἰ ἔστι ἀληθέως, καὶ πρὸς ταύτῃ τὰ ἄλλα κατοψομένους, δῶρα δὲ τῷ λόγῳ φέροντας τῷ βασιλέι αὐτῶν.

18 *ἡ δὲ τράπεζα τοῦ ἡλίου τοιήδε τις λέγεται εἶναι, λειμὼν [ἐστὶ] ἐν τῷ προαστείῳ ἐπίπλεος κρεῶν ἑφθῶν πάν-*

Und zwar wohnen die s. g. 'Wander-Äthiopen' (*Αἰθ. νομάδες*) im Nilthale oberhalb Ägyptens; südlicher die ägyptisierten Äthiopen von Meroë (II 29 f.); westlich vom Nil sitzen die kleinwüchsigen Negervölker (II 32). So bleibt für die halbmythischen 'langlebigen' Äthiopen (über das Epitheton vgl. c. 23 3) nur der südliche und südwestliche Teil auf der angeblichen Südküste übrig; vgl. zu c. 25 22. 114 1. Der Vf. hatte aber weder über ihre geographischen noch über ihre sonstigen Verhältnisse eine bestimmte Vorstellung. (Wenn Pausan. I 33 4 die Makrobier und die meroitischen Äthiopen identificiert, so kombiniert er eben nur die herodot. Angaben ohne rechte Einsicht.) — *Λιβύης* ist partitiver Genitiv, abhängig von dem adverbialen Ausdruck *ἐπὶ τῇ νοτίῃ θαλάσσῃ*, 'von Libyen einen Strich der am Südmeere liegt'. IV 85 *τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον* 'an einen Ort des Gebietes von K. der am Bosporos liegt', 110 *τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς*. Stände *τὰ ἐπὶ τῇ ν. θ.* wie II 32 16. VII 89 9, so wäre die Südküste überhaupt und im Ganzen bezeichnet.

18. Vom 'Sonnentisch' oder auch 'Sonnenmahl' (vgl. zu I 162 4) der Äthiopen wissen wir nur durch H. In seiner Beschreibung ist aber schon verstandesmäfsig umgedeutet, was ursprünglich eine mythisch-poetische Vorstellung war. Schon bei Homer wandern die Götter zeitweise ins Schlaraffenland der fern am Okeanos wohnenden 'untadeligen' Äthiopen, sich an den fetten Opferschmäusen zu laben (Il. *α* 423. *ψ* 205. Od. *α* 22). Dort, wo die nähere Sonne ihre befruchtende Kraft im vollsten Mafse zu spenden schien, gediehen Menschen und Dinge am besten (c. 114). Nachts 'labt dort im allnährenden See der Äthiopen der allschauende Helios seinen unsterblichen Leib und die ermüdeten Rosse in warmen Strömen erquikkenden Wassers' (Äschyl. Fr. 186); und, da auch er der stärkenden Nahrung bedarf (zu II 25 7), entsteigt bei nächtlichem Dunkel reiches Mahl dem Schofse der Erde. Dieses 'Sonnenmahl' nun deutete ein nüchternes Zeitalter zu einer fleischbedeckten Wiese um, auf der die Äthiopen, Dank einem frommen Betruge, täglich offene Tafel hielten. Die Beziehung zur Sonne, die doch der Name fordert, blieb dabei unbeachtet. Bei den Hellenen ward es, wie *Βάττου σίλφιον, Κροίσου θησαυροί*, sprichwörtlich zur Bezeichnung eines kostbaren Besitzes, *οὐδ' εἴ μοι τὴν ἡλίου διδοίης τράπεζαν.*

2 f. *ἐν τῷ προαστείῳ*: einer *πόλις* geschieht c. 24 14 Erwähnung. — *πάντων τῶν τετρ.*, näml. *βοῶν αἰγῶν ὀΐων*; vgl. zu I 50 2. Poseidon erwartet bei den Äthiopen (H.

Digitized by Google

των τῶν τετραπόδων, ἐς τὸν τὰς μὲν νύκτας ἐπιτηδεύοντας τιθέναι τὰ κρέα τοὺς ἐν τέλεϊ ἑκάστοτε ἐόντας τῶν ἀστῶν, τὰς δὲ ἡμέρας δαίνυσθαι προσιόντα τὸν βουλόμενον. φάναι δὲ τοὺς ἐπιχωρίους ταῦτα τὴν γῆν αὐτὴν ἀναδιδόναι ἑκάστοτε. ἡ μὲν δὴ τράπεζα τοῦ ἡλίου **19** *καλεομένη λέγεται εἶναι τοιήδε. Καμβύσῃ δὲ ὡς ἔδοξε πέμπειν τοὺς κατασκόπους, αὐτίκα μετεπέμπετο ἐξ Ἐλεφαντίνης πόλιος τῶν Ἰχθυοφάγων ἀνδρῶν τοὺς ἐπισταμένους τὴν Αἰθιοπίδα γλῶσσαν. ἐν ᾧ δὲ τούτους μετήισαν, ἐν τούτῳ ἐκέλευε ἐπὶ τὴν Καρχηδόνα πλέειν τὸν ναυτικὸν στρατόν. Φοίνικες δὲ οὐκ ἔφασαν ποιήσειν ταῦτα· ὁρκίοισί τε γὰρ μεγάλοισι ἐνδεδέσθαι, καὶ οὐκ ἂν ποιέειν δσια ἐπὶ τοὺς παῖδας τοὺς ἑωυτῶν στρατευόμενοι. Φοινίκων δὲ οὐ βουλομένων οἱ λοιποὶ οὐκ* **10** *ἀξιόμαχοι ἐγίνοντο. Καρχηδόνιοι μέν νυν οὕτω δουλοσύνην διέφυγον πρὸς Περσέων· Καμβύσης γὰρ βίην οὐκ ἐδικαίου προσφέρειν Φοίνιξι, ὅτι σφέας τε αὐτοὺς ἐδε-*

Od. α 25) *ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβη.* — *ἐπιτηδεύοντος* 'geschickt einrichtend' (c. 102 17. VI 125 12), dafs es schien als sei das Fleisch wirklich aus der Erde heraufgekommen (7).

4. *τοὺς ἐν τέλεϊ ἑκάστοτε ἐόντας* 'die jedesmaligen Obrigkeiten'. Der Ausdruck setzt eine Verfassung mit abwechselnden Beamten voraus.

7. *ἀναδιδόναι*, *submittere* (I 179 19. V 82 3); sonst in diesem Sinne *ἀνιέναι*.

19. 2. *τοιήδε*, rückweisend (zu I 137 2).

3. *Ἐλεφαντίνης*: zu II 28 8.

4. Unter dem Namen *Ἰχθυοφάγοι* begriff man die rohen von Fischfang lebenden Küstenvölker vom Westufer des arabischen Mb. bis zum Indus-delta. Wenn Kambyses Ichthyophagen von Elephantine kommen liefs, so ist damit nicht gesagt dafs dort (im Nilthale) und südlicher ihre Heimat war; vielmehr wohnten hier nomadisierende Äthiopen (II 29), die nächsten Ichthyophagen aber südöstlich von Ägypten am arabischen Mb. — *ἀνδρῶν*, wie I 201 *Ἰσσηδόνων ἀνδρῶν*. Aber richtiger wohl *ἄνδρας* 'etliche', wie VII 153 *ἄνδρες Γελῴων*, IX 94 *τῶν ἀστῶν ἀνδράσι*.

8. *ὁρκίοισι* — *ἐνδεδέσθαι*: vgl. I 11 *ἀναγκαίῃ ἐνδέειν*.

9. *παῖδας* = *ἐκγόνους* (IV 145 11. VII 9 α 3). Vgl. *πατέρες* IV 145 17. — Kolonien standen, nach hellenischer und allgemein antiker Sitte, zur Mutterstadt im Verhältnisse der Pietät, durften sie daher nur unter aufserordentlichen Umständen bekriegen. VIII 22 Themistokles in seiner Aufforderung an die Ioner *οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πατέρας στρατευόμενοι*. Umgekehrt beobachtete auch die Metropole die Rücksichten der Blutsverwandtschaft gegen ihre Kolonien.

10. *οἱ λοιποί*, die kleinasiatischen Vasallen (vgl. zu c. 25 8), sowie Syrer und Kyprier.

13. Eig. *ἐδεδώκεσάν τε σφέας αὐτούς*. Vgl. I 53 8.

Digitized by Google

δώκεσαν Πέρσῃσι καὶ πᾶς ἐκ Φοινίκων ἤρτητο ὁ ναυτικὸς στρατός. δόντες δὲ καὶ Κύπριοι σφέας αὐτοὺς Πέρσῃσι ἐστρατεύοντο ἐπ' Αἴγυπτον.

Ἐπείτε δὲ τῷ Καμβύσῃ ἐκ τῆς Ἐλεφαντίνης ἀπίκοντο οἱ Ἰχθυοφάγοι, ἔπεμπε αὐτοὺς ἐς τοὺς Αἰθίοπας ἐντειλάμενός ⟨τε⟩ τὰ λέγειν χρῆν καὶ δῶρα φέροντας πορφύρεόν τε εἶμα καὶ χρύσεον στρεπτὸν περιαυχένιον καὶ ψέλια καὶ μύρου ἀλάβαστρον καὶ φοινικηίου οἴνου κάδον. οἱ δὲ Αἰθίοπες οὗτοι, ἐς τοὺς ἀπέπεμπε ὁ Καμβύσης, λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι ἀνθρώπων πάντων, νόμοισι δὲ καὶ ἄλλοισι χρᾶσθαι αὐτοὺς κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων καὶ δὴ καὶ κατὰ τὴν βασιληίην τοιῷδε· τὸν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν τε εἶναι καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχύν, τοῦτον ἀξιοῦσι

14. *Πέρσῃσι*: ob dem Kambyses oder schon seinem Vater, ist nicht auszumachen. Für jenen spricht die Äußerung der Perser (III 34 18), für diesen spätere Zeugnisse (Xen. Kyr. I 1 4. Polyb. XVI 40. Joseph. g. Apion I 21).

15. Nach Xenoph. Kyr. VII 4 1. VIII 6 8 hatten sie sich dem Kyros freiwillig unterworfen und behielten deshalb ihre angestammten Fürsten; der Vf. aber scheint ihre Unterwerfung erst unter Kambyses zu setzen.

20. 3 ff. *ἐντειλάμενος — καὶ δῶρα φέροντας*: daſs die parallelen Participien verschieden sind im Tempus, Kasus und Bezug, ist ein auch bei H. nicht ungewöhnlicher Mangel an strenger Concinnität; s. zu I 69 3. — Über Wahl und Bedeutung der Geschenke zu c. 84 5. — *χρύσεον* gilt auch für *ψέλια*, wie VII 27 *ἐδωρήσατο τῷ πλατανίστῳ τῇ χρυσέῃ καὶ τῇ ἀμπέλῳ*. — *μύρου ἀλάβαστρον*: vgl. Ev. Matth. 26 7 *προσῆλθεν αὐτῷ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου βαρυτίμου*. Suidas erklärt *ἄγγος μύρου μὴ ἔχον λαβάς*, Schol. Arist. Ach. 1053 *ἔστι δὲ λήκυθος ἡ ὦτα μὴ ἔχουσα, ἧς οὐκ ἔστι λαβέσθαι*. Es ist ein henkelloses, birnförmiges Gefäſs, gewöhnlich aus dem nach ihm benannten Alabaster, mitunter auch aus Metall (Theokr. XV 114) gefertigt.

7. Ebenso c. 114 5. Vgl. Jesaia 45 14 'der Erwerb Ägyptens und der Gewinn Äthiopiens und die Sabäer' (an der Ostküste des arab. Mb.), 'Leute von groſser Länge werden zu dir übergehen und dein sein.' — Auch bei Homer sticht der Äthiope Memnon durch Schönheit hervor, Od. λ 522 *κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον*.

8 f. Zum Übergang in den Akkusativ vgl. oben c. 18 4. — *κεχωρισμένοισι — ἀνθρώπων*: ebenso I 172 5.

10 ff. Nikolaos Damask. Fr. 142 *Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ' ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα.* — *κατά*, 'im Verhältnisse zu, entsprechend'.

Digitized by Google

βασιλεύειν. ἐς τούτους δὴ ὧν τοὺς ἄνδρας ὡς ἀπίκοντο 21
οἱ Ἰχθυοφάγοι, διδόντες τὰ δῶρα τῷ βασιλέι αὐτῶν
ἔλεγον τάδε. „βασιλεὺς ὁ Περσέων Καμβύσης, βου-
λόμενος φίλος καὶ ξεῖνός τοι γενέσθαι, ἡμέας τε
ἀπέπεμψε ἐς λόγους τοι ἐλθεῖν κελεύων καὶ δῶρα ταῦ- 5
τά τοι διδοῖ, τοῖσι καὶ αὐτὸς μάλιστα ἥδεται χρεώμε-
νος.“ ὁ δὲ Αἰθίοψ μαθὼν ὅτι κατόπται ἥκοιεν, λέγει
πρὸς αὐτοὺς τοιάδε. „οὔτε ὁ Περσέων βασιλεὺς δῶρα
ὑμέας ἔπεμψε φέροντας προτιμῶν πολλοῦ ἐμοὶ ξεῖνος
γενέσθαι, οὔτε ὑμεῖς λέγετε ἀληθέα (ἥκετε γὰρ κα- 10
τόπται τῆς ἐμῆς ἀρχῆς), οὔτε ἐκεῖνος ἀνὴρ ἐστι δί-
καιος. εἰ γὰρ ἦν δίκαιος, οὔτ᾽ ἂν ἐπεθύμησε χώρης
ἄλλης ἢ τῆς ἑωυτοῦ, οὔτ᾽ ἂν ἐς δουλοσύνην ἀνθρώ-
πους ἦγε ὑπ᾽ ὧν μηδὲν ἠδίκηται. νῦν δὲ αὐτῷ τόξον
τόδε διδόντες τάδε ἔπεα λέγετε. βασιλεὺς ὁ Αἰθιόπων 15
συμβουλεύει τῷ Περσέων βασιλέι, ἐπεὰν οὕτω εὐπε-
τέως ἕλκωσι τὰ τόξα Πέρσαι ἐόντα μεγάθεϊ τοσαῦτα,
τότε ἐπ᾽ Αἰθίοπας τοὺς μακροβίους πλήθεϊ ὑπερβαλ-
λόμενον στρατεύεσθαι· μέχρι δὲ τούτου θεοῖσι εἰδέναι
χάριν, οἳ οὐκ ἐπὶ νόον τράπουσι Αἰθιόπων παισὶ γῆν 20
ἄλλην προσκτᾶσθαι τῇ ἑωυτῶν.“ ταῦτα δὲ εἶπας καὶ 22
ἀνεὶς τὸ τόξον παρέδωκε τοῖσι ἥκουσι. λαβὼν δὲ τὸ
εἷμα τὸ πορφύρεον εἰρώτα ὅ τι εἴη καὶ ὅκως πεποιη-

21. 4. *φίλος καὶ ξεῖνος*, auch c. 40 6. VIII 143 16 verbunden. Vgl. I 22 13. 69 13.

9. *προτιμῶν πολλοῦ* ‘weil er einen grofsen Wert darauf legt’. Vgl. I 86 23.

14. *μηδέν*, weil der Relativsatz noch unter dem Einflusse des hypothetischen Hauptsatzes *οὔτ᾽ ἂν — ἦγε* steht, = *τοὺς μηδὲν αὐτὸν ἠδικηκότας, a quibus nullam iniuriam accepisset. — νῦν δέ*, Gegens. zu der Hypothese *εἰ ἦν δίκαιος*.

16. *οὕτω εὐπετέως*, erg. *ὡς ἐγὼ νῦν ἕλκω*. Vgl. IV 9 22. Äthiopische Bogen werden VII 69 beschrieben. Strab. p. 822 *χρῶνται δὲ καὶ τόξοις Αἰθίοπες τετραπήχεσι ξυλίνοις πεπυρακτωμένοις*.

17. *ἕλκωσι*, eig. von den Bogensehnen.

20. *ἐπὶ νόον τράπουσι* ‘in den Sinn geben, auf den Gedanken bringen’. Vgl. *ἐπὶ νόον ποιέειν τινί* I 27 12, wo auch über *Αἰθιόπων παισί*.

22. 6. *δολερά*, indem sie eine Farbe heuchelten, die ihnen nicht eigentümlich war. Vgl. Klemens Alex. Strom. p. 344 *τὸ μύρον καὶ τὴν πορφύραν οἱ παλαιοὶ Λακεδαιμόνιοι (παρητοῦντο), δολερὰ μὲν τὰ εἵματα δολερὰ δὲ τὰ χρίματα ὑπολαβόντες ὀρθῶς καὶ ὀνομάσαντες.*

Digitized by Google

μένον· εἰπόντων δὲ τῶν Ἰχθυοφάγων τὴν ἐλπίδειν περὶ
5 τῆς πορφύρης καὶ τῆς βαφῆς, πολέρους μὲν τοὺς ἀν-
θρώπους ἄρτι εἶναι, πολέρα δὲ αὐτῶν τὰ εἵματα. δεύ-
τερα δὲ τὸν χρυσέον εἰρωτᾶ στρεπτὸν τὸν περιαυχένιον
καὶ τὰ ψέλια· ἐξηγεομένων δὲ τῶν Ἰχθυοφάγων τὸν
κόσμον αὐτῶν, γελάσας ὁ βασιλεὺς καὶ νομίσας εἶναι
10 σφέα πεδὰς εἶπε ὡς ταῦ ἐωυτοῖσι εἰσὶ ῥωμαλεώτεραι
τουτέων πεδᾶαι. τρίτον δὲ εἰρωτᾷ τὸ ἰτυρόν· εἰπόντων δὲ
τῆς τοιήσιος περὶ καὶ ἐλεείως, τὸν αὐτὸν λόγον τόν
καὶ περὶ τοῦ εἵματος εἶπε. ὡς δὲ οὐ τὸν οἶνον ἔπινε
το καὶ ἐπυνθάνετο αὐτοῦ τὴν τοιήσιν, ἐπερησθεὶς τῷ πό-
15 ματι ἐπείρετο ὁ τι τε ἐπιτήδεται ὁ βασιλεὺς καὶ χρόνον
ὁκόσον μακρότατον ἐντὸς Πέρσης ζώει. οἱ δὲ ἐπιτήδεσθαι
μὲν τὸν ἄρτον εἶπον, ἐξηγησαμένου τῶν πυρῶν τὴν
φύσιν, ὁμολογοῦντα δὲ ἔτεα ζῆς ἐπὶ πολλὰ ἐνορᾶν μακρό-
τατον προκεεῖσθαι. τοὺς ταῦτα ὁ Αἰθιόπων ἄρτι οὐδὲν
20 θωμάζειν εἰ σιτεομένοισι κοπρὸν ἔτεα ὀλίγα ζώουσι·
οὐδὲ γὰρ ἂν τοσαῦτα δύνασθαι ζώειν ἔτεα, εἰ μὴ τῷ
πόματι ἀνεμέρου, ῥαζῶν τοῖσι Ἰχθυοφάγοισι τὸν οἶ-

7. ἰωστὰ. etc. ὅτι ἐπὶ καὶ ὅκως τετοιημένον 3). Ebenso Z. 11 ἰωστὰ τὸ ἰτυρόν. I 174 πεπιεσμένους τὸ ἀντίξοον. V 134 ἐ-ρετο — τὸν ἵππον. VII 200 10. 142 4. X 11 17. Vgl. auch IV 133 1. 156 2.

9. τὸν κόσμον. wie sie den Leib schmückten, indem sie um Hals und Arme gelegt wurden.

10. S. c. 23. 17.

12. τὸν αὐτὸν λόγον. nämlich τὸ ἰτυρόν πολέρου εἶναι, indem es den Menschen Duft und Wohlgeruch benehelt, der ihm nicht natürlich bewohnt.

17. τὸν ἴστον. das bekannte, gewöhnliche Weizenbrot (vgl. I 2 29). Oder ist βασιλέα unter τὸν weggefallen?

18. πλεῖστα = τέλος. achtzig Jahre sei als längstes Lebensziel dem Sterblichen ἀνθρώπῳ gesteckt. Vgl. zu I 32 10. VIII 43 3.

20. ἰστὸν, weil der Weizen der gedüngten Erde entspricht.

22. ἀναφορέειν intrans. sich wieder emporheben, emporkommen aus der Tiefe, dem Druck), genesen, sich erholen von Krankheit, Wunde, Schwäche, Bestürzung. Suidas v. ἀναφορὰν gibt als Beispiel: ἐπὶ δὲ τοῦ βάθους τῶν ὕδατων καὶ τῶν καταδυομένων ἀναφέρειν λυδὲ ἐᾶν. Demosth. pro Megalop. 31 ἐν ᾧ ἀνενεχώσατο ὁ ἐκ πολλοῦ καὶ ταπεινῶσεν. Suidas v. ἀνενεχώσατο· ὁ δὲ ἀκέστωρ ἀνέπνευσεν· ἀνενεχώσατο δὲ αὐτὸν ὠφελοῦσι οἱ γυναῖκες τῶν βασιλέα ἐφοβοῦντο καὶ τῆς νόσου πεποιωθέντα. In ähnlichem Sinne bei Passow I 167. Vgl. auch ἀναπαύεσθαι. Durch den Genuss des Kotes, meint der König, müssten

Digitized by Google

νον· τούτῳ γὰρ ἑωυτοὺς ὑπὸ Περσέων ἐσσοῦσθαι. ἀντει- **23**
ρομένων δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων τῆς ζόης καὶ
διαίτης πέρι, ἔτεα μὲν ⟨ἔφη⟩ ἐς εἴκοσι καὶ ἑκατὸν τοὺς
πολλοὺς αὐτῶν ἀπικνέεσθαι, ὑπερβάλλειν δὲ τινὰς καὶ
ταῦτα, σίτησιν δὲ εἶναι κρέα [τε] ἑφθὰ καὶ πόμα γάλα.
θῶμα δὲ ποιευμένων τῶν κατασκόπων περὶ τῶν ἐτέων,
ἐπὶ κρήνην σφι ἡγήσασθαι, ἀπ' ἧς λουόμενοι λιπαρώ-
τεροι ἐγένοντο, κατά περ εἰ ἐλαίου εἴη· ὄζειν δὲ ἀπ' αὐ-
τῆς ὡς εἰ ἴων. ἀσθενὲς δὲ τὸ ὕδωρ τῆς κρήνης ταύτης οὕ-
τω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι ὥστε μηδὲν οἷόν
τ' εἶναι ἐπ' αὐτοῦ ἐπιπλέειν, μήτε ξύλον μήτε τῶν ὅσα
ξύλου ἐστὶ ἐλαφρότερα, ἀλλὰ πάντα σφέα χωρέειν ἐς
βυσσόν. τὸ δὲ ὕδωρ τοῦτο εἴ σφι ἐστὶ ἀληθέως οἷόν τι
λέγεται, διὰ τοῦτο ἂν εἶεν, τούτῳ τὰ πάντα χρεώμενοi,
μακρόβιοι. ἀπὸ τῆς κρήνης δὲ ἀπαλλασσομένων, ἀγα-
γεῖν σφεας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας
ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι. ἔστι δὲ ἐν τούτοισι τοῖσι
Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον.

die Perser an Kräften so herunterkommen, daſs sie nicht einmal das geringe Alter von 80 J. erreichen würden, wenn sie sich nicht durch den Wein wieder zu Kräften brächten. — *φράζων — τὸν οἶνον*, Erklärung zu *τῷ πόματι*, denn von 'Wein' wuſste der König nichts. Vgl. VI 99 7. VII 144 8. IX 55 11. *φράζων = δεικνύς, σημαίνων*. IV 113 7 steht noch *τῇ χειρί* dabei.

23. *τούτῳ*, nicht *τοῦτο* (wie V 1 13); denn die Äthiopen haben überhaupt keinen Wein und können nicht 'in dieser Beziehung, hierin' sich besiegt erklären, sondern in der Vergleichung der beiderseitigen Lebensgüter kommen die Perser nur mittelst des Weines in Vorteil.

5. *τε* ist vielleicht ein Rest von *τετραπόδων* (c. 18 3). — *ἀπ' ἧς*, mit dem aus der Quelle geschöpften Wasser. Od. *κ* 361 *ἕς ῥ' ἀσάμιν-θον ἔσασα* (den Odysseus) *λό' ἐκ τρίποδος μεγάλοιο.*

8. *εἴη*, sc. *ἡ κρήνη*. — *ὄζειν* hier impersonal, sonst gewöhnlich von der Person oder Sache, welche nach etwas (*τινός*) riecht, oder von dem Geruch (*ὀδμή* od. *ἡδύ* u. dgl.), der ausströmt. Übers. 'es strömе von ihr ein Geruch aus wie von Veilchen'. Vgl. c. 113 1.

9. *ἀσθενές*, zum Tragen, 'leicht', *tenuis; κοῦφον* bei Hippokrates *περὶ ἀέρων* 7. — Megasthenes Fr. 19 berichtet Ähnliches von dem Wasser eines indischen Flusses Silas.

11. *τῶν* demonstrativ = *τούτων*, homerisch; vor *ὅσα* noch c. 131 6. 133 9.

14. *τὰ πάντα* 'zu Allem, durchgängig' (I 99 5). — Wasser galt für um so gesünder und heilsamer, je leichter es war.

15. Man erwartet *ἀπαλλαχθέντων* od. *ἀπηλλαγμένων*; s. zu I 9 8.

Digitized by Google

θεησάμενοι δὲ καὶ τὸ δεσμωτήριον ἐθεήσαντο καὶ τὴν
24 τοῦ ἡλίου λεγομένην τράπεζαν. μετὰ δὲ ταύτην τελευταίας ἐθεήσαντο τὰς θήκας αὐτῶν, αἳ λέγονται σκευάζεσθαι ἐξ ὑέλου τρόπῳ τοιῷδε· ἐπεὰν τὸν νεκρὸν ἰσχνήνωσι, εἴτε δὴ κατά περ Αἰγύπτιοι εἴτε ἄλλως κως, γυψώσαντες ἅπαντα αὐτὸν γραφῇ κοσμέουσι, ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατόν, ἔπειτα δέ οἱ περιστᾶσι στήλην ἐξ ὑέλου πεποιημένην κοίλην· ἡ δέ σφι πολλὴ καὶ εὐεργὸς ὀρύσσεται· ἐν μέσῃ δὲ τῇ στήλῃ ἐνεὼν διαφαίνεται ὁ νέκυς, οὔτε ὀδμὴν οὐδεμίαν ἄχαριν παρεχόμενος οὔτε ἄλλο ἀεικὲς οὐδέν· καὶ ἔχει πάντα φανερὰ ὁμοίως αὐτῷ τῷ νέκυϊ. ἐνιαυτὸν μὲν δὴ ἔχουσι τὴν στήλην ἐν τοῖσι οἰκίοισι οἱ μάλιστα προσήκοντες, πάντων ἀπαρχόμενοι καὶ θυσίας οἱ προσάγοντες· μετὰ δὲ ταῦτα ἐκκομίσαντες ἱστᾶσι περὶ τὴν πόλιν.

25 Θεησάμενοι δὲ τὰ πάντα οἱ κατάσκοποι ἀπαλλάσσονται ὀπίσω. ἀπαγγειλάντων δὲ ταῦτα τούτων, αὐτίκα

24. 2. *τελευταίας* 'zuletzt'. Zu I 91 22. — *θήκη* 'Totenlade, Sarkophag' (I 67 11. II 148 21. 169 25); sonst auch = *τάφος* od. *οἴκημα θηκαῖον* (I 187 18. II 67 3. 69 11. 136 12. III 16 28. 37 2. IV 35 17. 71 19).

4. *κατά περ Αἰγύπτιοι*; s. II 86 ff.

5 f. *ἅπαντα* gehört auch zu *γραφῇ κοσμέουσι*, 'sie bemalen die ganze mit Gips überzogene Mumie', nicht etwa blofs die Vorderseite. — *ἐξομοιεῦντες*, die Gipshülle dem Verstorbenen in seiner äufseren Bildung (*τὸ εἶδος*).

7 f. Welches Mineral mit *ὕελος* (att. *ὕαλος*) zu verstehen, ist unfindlich; jedenfalls nicht Kristall oder eigentliches Glas, denn zu jenem pafst nicht *εὐεργός*, zu diesem nicht *ὀρύσσεται*. Sollte H. die in Ägypten seit alters heimische und hochentwickelte Glasbereitung nicht gekannt und den Glasfluss für ein natürliches Mineral gehalten haben? Immerhin mochte den Hellenen, die noch zu H.'s Zeit Glaswaren den goldenen an Kostbarkeit gleichstellten, diese Art von Totenbestattung ebenso wunderbar erscheinen wie die goldenen Fesseln.

10. *ἄλλο ἀεικὲς οὐδέν*, insbesondere keine *εὐλάς* (c. 16 19), was durch die *ἴσχνανσις* (4) verhütet wurde. — *ἔχει φανερά* = *φαίνει* (zu II 85 6), näml. *ὁ νέκυς ὁ γυψωθεὶς καὶ γραφῇ κοσμηθείς*, wogegen *αὐτὸς ὁ νέκυς* der blofse nackte Leichnam ist. — *πάντα*, alle Gliedmafsen.

13. *ἀπαρχόμενοι*; die Toten erhielten von jedem Gerichte vorab einen Anteil (*ἀπαρχαί*, *primitiae*). Vgl. IV 61 14. — Auch in Ägypten pflegte man die Toten noch eine Zeit lang im Hause zu behalten und ihnen zu opfern.

14. Zu *ἱστᾶσι περὶ τὴν πόλιν* ist nicht mehr die einzelne *στήλη*, sondern die Gesamtheit der Leichensäulen gedacht.

Digitized by Google

ὁ Καμβύσης ὀργὴν ποιησάμενος ἐστρατεύετο ἐπὶ τοὺς Αἰθίοπας, οὔτε παρασκευὴν σίτου οὐδεμίαν παραγγείλας, οὔτε λόγον ἑωυτῷ δοὺς ὅτι ἐς τὰ ἔσχατα γῆς ἔμελλε στρατεύεσθαι· οἷα δὲ ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης, ὡς ἤκουε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο, Ἑλλήνων μὲν τοὺς παρεόντας αὐτοῦ τάξας ὑπομένειν, τὸν δὲ πεζὸν πάντα ἅμα ἀγόμενος. ἐπείτε δὲ στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ ὡς πέντε μυριάδας, καὶ τούτοισι μὲν ἐνετέλλετο Ἀμμωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον τὸ τοῦ Διὸς ἐμπρῆσαι, αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν ἤιε ἐπὶ τοὺς Αἰθίοπας. πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος διεληλυθέναι τὴν στρατιήν, αὐτίκα πάντα αὐτοὺς τὰ εἶχον σιτίων ἐχόμενα ἐπελελοίπεε, μετὰ δὲ τὰ σιτία καὶ τὰ ὑποζύγια ἐπέλιπε κατεσθιόμενα. εἰ μέν νυν μαθὼν ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχεε καὶ ἀπῆγε ὀπίσω τὸν

25. 3. *ὀργὴν ποιησάμενος* = *ὀργισθείς.*

4. *παραγγέλλειν*, *imperare.*

5. *τὰ ἔσχατα γῆς*: denn die *Αἰθίοπες μακρόβιοι* wohnten *Λιβύης ἐπὶ τῇ νοτίῃ θαλάσσῃ* (c. 17 3); vgl. c. 114.

6 f. *ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης*: eine eigentümliche Zusammenstellung zweier gleichdeutiger Ausdrücke, und zwar eines positiven und eines negativen, die besonders auch von Sophokles mit Vorliebe gebraucht wird, um einer Aussage Nachdruck zu verleihen. So II 172 *σοφίῃ, οὐκ ἀγνωμοσύνῃ*, III 35 *παραφρονέειν καὶ οὐκ εἶναι νοήμονα*, IV 161 *χωλός τε ἐὼν καὶ οὐκ ἀρτίπους*, V 42 *οὐ φρενήρης ἀκρομανής τε*, IX 55 *μαινόμενον καὶ οὐ φρενήρεα*, I 35 3. V 42 7. VII 46 14. 222 4. 226 11. VIII 16 6. Od. ψ 265 *μυθήσομαι οὐδ' ἐπικεύσω.* Hymn. Hom. I 1 *μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.* Soph. Ant. 443 *καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή*, 491 *λυσσῶσαν αὐτὴν οὐδ' ἐπήβολον φρενῶν*, Fr. 754 Nauck. *τυφλὸς — οὐδ' ὁρῶν Ἄρης.* Vgl. auch Fälle wie II 43 *οὐκ ἥκιστα ἀλλὰ μάλιστα*, 49 *οὐκ ἀδαὴς ἀλλ' ἔμπειρος*, III 69 *οὐ χαλεπῶς ἀλλ' εὐπετέως*, IX 17 *οὐκ ἑκόντες ἀλλ' ὑπ' ἀναγκαίης.* — *φρενήρης* poetisch, 'bei Verstande', gewöhnlich mit der Negation. — Vgl. zu c. 30 1.

8. *τοὺς παρεόντας*, loner und Äoler (c. 1); es war Schiffsvolk (29) wie auch der Gegens. *τὸν δὲ πεζόν* zeigt.

10. In Theben soll Kambyses angeblich die Tempel geplündert und verwüstet haben (Strab. p. 816. Diodor I 46).

11. *πέντε μυριάδας*: die Zahl ist übertrieben und aufser Verhältnis zur geringen Anzahl der Ammonier, wenn auch das alte Ammonion bevölkerter gewesen sein sollte als jetzt, wo es dicht bevölkert ist.

15. *αὐτίκα*: vgl. c. 39 9. *πρὶν — διεληλυθέναι* dem Sinne nach = *ἐν ὀλίγῳ χρόνῳ.*

16. *σιτίων ἐχόμενα*: zu I 120 17.

18. *γνωσιμαχέειν*, altes (episches)

Digitized by Google

Digitized by Google

τῆς Αἰσχριωνίης φυλῆς λεγόμενοι εἶναι, ἀπέχει δὲ ἑπτὰ ἡμερέων ὁδὸν ἀπὸ Θηβέων διὰ ψάμμου· ὀνομάζεται δὲ ὁ χῶρος οὗτος κατὰ Ἑλλήνων γλῶσσαν Μακάρων νῆσος. ἐς μὲν δὴ τοῦτον τὸν χῶρον λέγεται ἀπικέσθαι τὸν στρατόν, τὸ ἐνθεῦτεν δέ, ὅτι μὴ αὐτοὶ Ἀμμώνιοι καὶ οἱ τούτων ἀκούσαντες, ἄλλοι οὐδένες οὐδὲν ἔχουσι εἰπεῖν περὶ αὐτῶν· οὔτε γὰρ ἐς τοὺς Ἀμμωνίους ἀπίκοντο οὔτε ὀπίσω ἐνόστησαν. λέγεται δὲ κατὰ τάδε ὑπ' αὐτῶν Ἀμμωνίων· ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης ἰέναι διὰ τῆς ψάμμου ἐπὶ σφέας, γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτῶν τε καὶ τῆς Ὀάσιος, ⟨καὶ⟩ ἄριστον αἱρεομένοισι αὐτοῖσι ἐπιπνεῦσαι νότον μέγαν

ist im ägyptischen Altertum nicht als eigentliches nomen proprium gebraucht worden, da die Oasen die geographische Bezeichnung *uit* od. *ueit* führten. Nach den Denkmälern gab es sieben Oasen, welche als den Ägyptiern unterwürfig betrachtet wurden. Davon hiefs die 5. *Kenem* od. *Kenemem* (das heutige Ghanaïm. Oase von Khargieh oder Khargeh 'die äufsere'), die 6. *Testes* (heute Dakhalieh oder Dakhel 'die innere', westlich von der vorigen), die 7. *Sochet-am* od. *-amam* 'das Dattelbaumgefilde', Oase des Jupiter Amon (h. Siwah, Siuah). In allen sieben wurde der Amon von Theben als Hauptgott verehrt. Hier ist die 5. gemeint, die *Ὄασις μεγάλη, Oasis maior* der Alten, die ungefähr in der Breite des alten Theben liegt. Die gleichnamige Stadt (hierogl. *Hib* od. *Hibe*) mufs in der Nähe des j. Hauptortes el Khargeh gelegen haben, wo noch Trümmer einer altägyptischen Stadt und eines von König Darius erbauten Amontempels (nach Brugsch). Ihre Entfernung von Theben wird auch von dem Reisenden Caillaud auf 7 T. angegeben. — Die samische *φυλὴ Αἰσχριωνίη* ist sonst nicht bekannt; zwei andere hiefsen *Χησίη* und *Ἀστυπάλαια* (Et. M. p. 160 22). Vgl. zu c. 39 4. Ein samischer Iambendichter des 4. Jahrh. v. Chr. heifst *Αἰσχρίων*. Wie übrigens Samier nach Oasis kamen, bleibt dunkel. — *Μακάρων νῆσος* mufste den hellenischen Leser an die *μακάρων νῆσοι* seiner Sage erinnern. 'In der That, der Kontrast, den diese mit Quellen und üppiger Vegetation bedeckten Stellen mit der schauervollen Einöde bilden, worin der Reisende mehrere Tage schmachten mufs, ehe er sie erreicht, rechtfertigt den Ausdruck vollkommen' (*Ideler*). Die eigentliche Bedeutung des Wortes *ὄασις* (auch *αὔασις* und *ὕασις*) erfuhr H. nicht. Strabon. p. 791 *αὐάσεις οἱ Αἰγύπτιοι καλοῦσι τὰς οἰκουμένας χώρας περιεχομένας κύκλῳ μεγάλαις ἐρημίαις ὡς ἂν νήσους πελαγίας.*

14. *αὐτῶν*, die es am nächsten anging. — *ἐπειδή — ἰέναι*: zu I 24 30.

15 ff. *γενέσθαι τε — καὶ .. ἐπιπνεῦσαι*: durch die parallele Gliederung wird die zeitliche Kongruenz der beiden Ereignisse angedeutet, wie c. 76 4. 108 20. S. zu II 93 25.

17. Nach einer Nachricht bei Strabon betraf die Katastrophe das unter Kambyses' Führung marschierende Heer und fiel in Nubien vor (vgl. zu c. 25 22), p. 820 vom Römer

Digitized by Google

τε καὶ ἐξαίσιον, φορέοντα δὲ θῖνας τῆς ψάμμου καταχῶσαι σφέας, καὶ τρόπῳ τοιούτῳ ἀφανισθῆναι. Ἀμμώνιοι μὲν οὕτω λέγουσι γενέσθαι περὶ τῆς στρατιῆς ταύτης.

27 Ἀπιγμένου δὲ Καμβύσεω ἐς Μέμφιν ἐφάνη Αἰγυπτίοισι ὁ Ἆπις, τὸν Ἕλληνες Ἔπαφον καλέουσι· ἐπιφανέος δὲ τούτου γενομένου αὐτίκα οἱ Αἰγύπτιοι εἵματα ἐφόρεον τὰ κάλλιστα καὶ ἦσαν ἐν θαλίῃσι. ἰδὼν δὲ ταῦτα τοὺς Αἰγυπτίους ποιεῦντας ὁ Καμβύσης, πάγχυ σφέας καταδόξας ἑωυτοῦ κακῶς πρήξαντος χαρμόσυνα ταῦτα ποιέειν, ἐκάλεε τοὺς ἐπιτρόπους τῆς Μέμφιος, ἀπικομένους δὲ ἐς ὄψιν εἴρετο ὅ τι πρότερον μὲν ἐόντος αὐτοῦ ἐν Μέμφι ἐποίευν τοιοῦτον οὐδὲν Αἰγύπτιοι,

Petronius ἐκ δὲ Ψέλχιος ἦκεν εἰς Πρῆμνιν (im nubischen Nilthale) ἐρυμνὴν πόλιν διελθὼν τοὺς θῖνας, ἐν οἷς ὁ Καμβύσου κατεχώσθη στρατὸς ἐμπεσόντος ἀνέμου.

Kambyses in Memphis; Verwundung des Apis. Raserei; Brudermord (c. 27—30).

27. ἐφάνη — ὁ Ἆπις, der gewöhnliche Ausdruck von der Auffindung des Apis, weil in dem Stier die verborgene Gottheit des Osiris sich offenbarend (φαίνεσθαι, ἐπιφαίνεσθαι) gedacht ward (vgl. II 153 4); daher auch der Artikel, weil in den wechselnden Stierleibern immer dieselbe Gottheit erscheint. Ἆπις = äg. *Hapi*. S. zu II 38 1. — Ἔπαφος in der hellenischen Sage Sohn der kuhförmigen Io (vgl. II 41 5) und Ahn des Danaos. Die Sage bei Apollodor II 1 3: Io kam in Kuhgestalt umherirrend nach Ägypten, ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα γεννᾷ παρὰ τῷ Νείλῳ ποταμῷ Ἔπαφον παῖδα. Ἔπαφος δὲ βασιλεύων Αἰγυπτίων γαμεῖ Μέμφιν τὴν Νείλου θυγατέρα. Den Namen leitet Äschylos Prom. 849 von ἐπαφᾶν ab: ἐνταῦθα δή σε (sc. τὴν Ἰώ) Ζεὺς τίθησιν ἔμφρονα, .. Ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον· Ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων Τέξεις κελαινὸν Ἔπαφον (vgl. Ἱκετ. 17. 46. 300) — eine Ableitung, welche auf die c. 28 beschriebene Zeugungsweise hindeutet. H. konstatiert hier nur dafs die Namen Ἆπις und Ἔπαφος sich im Sprachgebrauche entsprechen (vgl. II 38 1. 153 4); aber den ägyptischen Stiergott mit dem Sohne der Io zu identificieren liefs sein aufgeklärtes Urteil nicht zu. Auch leugneten die Ägyptier selbst die Identität (Aelian. hist. an. XI 10).

3. Starb der Apis, so trauerte man bis sich der neue fand, was denn gewöhnlich bald gelang. Dann entstand allgemeiner festlicher Jubel. Der junge Stier ward, nachdem er vier Monate lang am Orte seiner Geburt aufgenährt war, auf 40 Tage nach Neilopolis (Mittelägypt.) und darauf auf einer prachtvollen Barke im Festzuge nach Memphis geführt (Diodor I 21. 85. Ael. a. O.).

5 ff. πάγχυ καταδόξας 'in der festen Meinung' (VI 16 11). — χαρμόσυνα 'als Freudenfest.' Plut. mor. p. 362 τὴν ἑορτὴν οἱ Αἰγύπτιοι τὰ χαρμόσυνα σαίρει καλοῦσιν. Es dauerte sieben Tage (Plin. nat. hist. VIII 186).

Digitized by Google

τότε δὲ ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς πλῆθός τι ἀποβαλών. οἱ δὲ ἔφραζον ὡς σφι θεὸς εἴη φανεὶς διὰ χρόνου πολλοῦ ἐωθὼς ἐπιφαίνεσθαι, καὶ ὡς ἐπεὰν φανῇ τότε πάντες Αἰγύπτιοι κεχαρηκότες ὀρτάζοιεν. ταῦτα ἀκούσας ὁ Καμβύσης ἔφη ψεύδεσθαι σφέας καὶ ὡς ψευδομένους θανάτῳ ἐζημίου. ἀποκτείνας δὲ τούτους δεύτερα τοὺς ἱρέας ἐκάλεε ἐς ὄψιν· λεγόντων δὲ κατὰ ταὐτὰ τῶν ἱρέων, οὐ λήσειν ἔφη ἑωυτὸν εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυπτίοισι. τοσαῦτα δὲ εἴπας ἀπάγειν ἐκέλευε τὸν Ἆπιν τοὺς ἱρέας. οἱ μὲν δὴ μετήισαν ἄξοντες. ὁ δὲ Ἆπις οὗτος ὁ Ἔπαφος γίνεται μόσχος ἐκ βοός, ἥτις οὐκέτι οἵη τε γίνεται ἐς γαστέρα ἄλλον βάλλεσθαι γόνον. Αἰγύπτιοι δὲ λέγουσι σέλας ἐπὶ τὴν βοῦν ἐκ τοῦ οὐρανοῦ κατίσχειν, καὶ μιν ἐκ τούτου τίκτειν τὸν Ἆπιν. ἔχει δὲ ὁ μόσχος οὗτος ὁ Ἆπις κα-

10. τι: zu c. 14 48.

11 f. θεός: Strabon p. 803 οὗτος μὲν οὖν (Ἆπις und der in Heliopolis verehrte Stier Μνεῦις) θεοὶ νομίζονται, οἱ δὲ παρὰ τοῖς ἄλλοις (παρὰ πολλοῖς γὰρ δὴ ἐν τε τῷ Δέλτα καὶ ἔξω αὐτοῦ τοῖς μὲν ἄρρην τοῖς δὲ θήλεια τρέφεται), οὗτοι δὲ θεοὶ μὲν οὐ νομίζονται ἱεροὶ δέ. Aelian. a. O. θεὸς Αἰγυπτίοις ἐναργέστατος ὁ Ἆπις εἶναι πιστεύεται. Er wird auch geradezu mit Osiris identificiert, dessen Seele in ihn übergehen und dessen 'belebtes Bild' er sein soll (Plut. mor. p. 368). S. zu II 38 1. — διὰ χρόνου πολλοῦ 'nach Verlauf einer langen Zeit', d. i. nach dem Tode des je lebenden Apis.

14. ὡς ψευδομένους: vgl. I 138 αἴσχιστον δὲ αὐτοῖσι (sc. Πέρσῃσι) τὸ ψεύδεσθαι νενόμισται.

28. 4. χειροήθης 'an die Hand gewöhnt', mansuetus (II 69 6). Den an einen bilderlosen Götterdienst gewöhnten Persern (I 131) mufste ein Gott in gemeiner Stiergestalt als ein lächerlicher Greuel erscheinen; vgl. c. 29 4 ff. — τοσαῦτα 'nur soviel' (I 128 4).

5. ἀπάγειν 'herzuführen' (II 114 11).

7 f. ἥτις: vgl. zu IV 8 4. — οὐκέτι, nach der Geburt des Apis. — ἥτις οὐκέτι οἵη τε γίνεται, cui non iam licet, fas est (I 29 9). Sie wurde deshalb in einem dem Apishof benachbarten Stall gehalten (Strabon p. 806). — ἐς γαστέρα βάλλεσθαι = ἀναιρέεσθαι (c. 108 12), συλλαμβάνειν, ἐν γαστρὶ ἴσχειν (IV 30 9) oder blofs ἴσχειν (V 41 12); bei Hippokrates συναρπάζειν τὸν γόνον (von der μήτρη). Vgl. βάλλεσθαι ἐς θυμόν od. ἐμβάλλεσθαι θυμῷ = θυμῷ λαμβάνειν, ἐς νόον ἐμβάλλεσθαι = νόῳ λαμβάνειν.

9. ἐκ τοῦ οὐρανοῦ: die mystische Zeugung des Apis führte man auch wohl auf den Mond zurück; Plut. mor. p. 718 τὸν Ἆπιν λοχεύεσθαι φασὶν ἐπαφῇ τῆς σελήνης, p. 368 οἴονται γενέσθαι ὅταν φῶς ἐρείσῃ γόνιμον ἀπὸ τῆς σελήνης καὶ καθάψηται βοὸς ὀργώσης. — κατίσχειν hier intransitiv, 'niederfahren'; vgl. ἀνίσχειν (c. 98 4), und das hier synonyme κατασκήπτειν (VII 134 2. 137 7. VIII 65 17).

Digitized by Google

δώκεσαν Πέρσῃσι καὶ πᾶς ἐκ. Φοινίκων ἤρτητο ὁ ναυτικὸς στρατός. δόντες δὲ καὶ Κύπριοι σφέας αὐτοὺς Πέρσῃσι ἐστρατεύοντο ἐπ᾽ Αἴγυπτον.

Ἐπείτε δὲ τῷ Καμβύσῃ ἐκ τῆς Ἐλεφαντίνης ἀπίκοντο οἱ Ἰχθυοφάγοι, ἔπεμπε αὐτοὺς ἐς τοὺς Αἰθίοπας ἐντειλάμενός ⟨τε⟩ τὰ λέγειν χρῆν καὶ δῶρα φέροντας πορφύρεόν τε εἶμα καὶ χρύσεον στρεπτὸν περιαυχένιον καὶ ψέλια καὶ μύρου ἀλάβαστρον καὶ φοινικηίου οἴνου κάδον. οἱ δὲ Αἰθίοπες οὗτοι, ἐς τοὺς ἀπέπεμπε ὁ Καμβύσης, λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι ἀνθρώπων πάντων, νόμοισι δὲ καὶ ἄλλοισι χρᾶσθαι αὐτοὺς κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων καὶ δὴ καὶ κατὰ τὴν βασιληίην τοιῷδε· τὸν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν τε εἶναι καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχύν, τοῦτον ἀξιοῦσι

14. *Πέρσῃσι*: ob dem Kambyses oder schon seinem Vater, ist nicht auszumachen. Für jenen spricht die Aufserung der Perser (III 34 18), für diesen spätere Zeugnisse (Xen. Kyr. I 1 4. Polyb. XVI 40. Joseph. g. Apion I 21).

15. Nach Xenoph. Kyr. VII 4 1. VIII 6 8 hatten sie sich dem Kyros freiwillig unterworfen und behielten deshalb ihre angestammten Fürsten; der Vf. aber scheint ihre Unterwerfung erst unter Kambyses zu setzen.

20. 3 ff. *ἐντειλάμενος — καὶ δῶρα φέροντας*: dafs die parallelen Participien verschieden sind im Tempus, Kasus und Bezug, ist ein auch bei H. nicht ungewöhnlicher Mangel an strenger Concinnität; s. zu I 69 3. — Über Wahl und Bedeutung der Geschenke zu c. 84 5. — *χρύσεον* gilt auch für *ψέλια*, wie VII 27 *ἐδωρήσατο τῷ πλατανίστῳ τῇ χρυσέῃ καὶ τῇ ἀμπέλῳ*. — *μύρου ἀλάβαστρον*: vgl. Ev. Matth. 26 7 *προσῆλθεν αὐτῷ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου βαρυτίμου*. Suidas erklärt *ἄγγος μύρου μὴ ἔχον λαβάς*, Schol. Arist. Ach. 1053 *ἔστι δὲ λήκυθος ἡ ὦτα μὴ ἔχουσα, ἧς οὐκ ἔστι λαβέσθαι*. Es ist ein henkelloses, birnförmiges Gefäfs, gewöhnlich aus dem nach ihm benannten Alabaster, mitunter auch aus Metall (Theokr. XV 114) gefertigt.

7. Ebenso c. 114 5. Vgl. Jesaia 45 14 'der Erwerb Ägyptens und der Gewinn Äthiopiens und die Sabäer' (an der Ostküste des arab. Mb.), 'Leute von grofser Länge werden zu dir übergehen und dein sein.' — Auch bei Homer sticht der Äthiope Memnon durch Schönheit hervor, Od. λ 522 *κεῖνον δὴ κάλλιστον ἴδον μετὰ Μέμνονα δῖον*.

8 f. Zum Übergang in den Akkusativ vgl. oben c. 18 4. — *κεχωρισμένοισι — ἀνθρώπων*: ebenso I 172 5.

10 ff. Nikolaos Damask. Fr. 142 *Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. ὅταν δ᾽ ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα*. — *κατά*, 'im Verhältnisse zu, entsprechend'.

Digitized by Google

βασιλεύειν. ἐς τούτους δὴ ὧν τοὺς ἄνδρας ὡς ἀπίκοντο 21
οἱ Ἰχθυοφάγοι, διδόντες τὰ δῶρα τῷ βασιλέι αὐτῶν
ἔλεγον τάδε. „βασιλεὺς ὁ Περσέων Καμβύσης, βου-
λόμενος φίλος καὶ ξεῖνός τοι γενέσθαι, ἡμέας τε
ἀπέπεμψε ἐς λόγους τοι ἐλθεῖν κελεύων καὶ δῶρα ταῦ-
τά τοι διδοῖ, τοῖσι καὶ αὐτὸς μάλιστα ἥδεται χρεώμε-
νος.“ ὁ δὲ Αἰθίοψ μαθὼν ὅτι κατόπται ἥκοιεν, λέγει
πρὸς αὐτοὺς τοιάδε. „οὔτε ὁ Περσέων βασιλεὺς δῶρα
ὑμέας ἔπεμψε φέροντας προτιμῶν πολλοῦ ἐμοὶ ξεῖνος
γενέσθαι, οὔτε ὑμεῖς λέγετε ἀληθέα (ἥκετε γὰρ κα- 10
τόπται τῆς ἐμῆς ἀρχῆς), οὔτε ἐκεῖνος ἀνὴρ ἐστι δί-
καιος. εἰ γὰρ ἦν δίκαιος, οὔτ᾽ ἂν ἐπεθύμησε χώρης
ἄλλης ἢ τῆς ἑωυτοῦ, οὔτ᾽ ἂν ἐς δουλοσύνην ἀνθρώ-
πους ἦγε ὑπ᾽ ὧν μηδὲν ἠδίκηται. νῦν δὲ αὐτῷ τόξον
τόδε διδόντες τάδε ἔπεα λέγετε. βασιλεὺς ὁ Αἰθιόπων 15
συμβουλεύει τῷ Περσέων βασιλέι, ἐπεὰν οὕτω εὐπε-
τέως ἕλκωσι τὰ τόξα Πέρσαι ἐόντα μεγάθεϊ τοσαῦτα,
τότε ἐπ᾽ Αἰθίοπας τοὺς μακροβίους πλήθεϊ ὑπερβαλ-
λόμενον στρατεύεσθαι· μέχρι δὲ τούτου θεοῖσι εἰδέναι
χάριν, οἳ οὐκ ἐπὶ νόον τράπουσι Αἰθιόπων παισὶ γῆν 20
ἄλλην προσκτᾶσθαι τῇ ἑωυτῶν.“ ταῦτα δὲ εἴπας καὶ 22
ἀνεὶς τὸ τόξον παρέδωκε τοῖσι ἥκουσι. λαβὼν δὲ τὸ
εἷμα τὸ πορφύρεον εἰρώτα ὅ τι εἴη καὶ ὅκως πεποιη-

21. 4. *φίλος καὶ ξεῖνος*, auch c. 40 6. VIII 143 16 verbunden. Vgl. I 22 13. 69 13.

9. *προτιμῶν πολλοῦ* ‘weil er einen grofsen Wert darauf legt’. Vgl. I 86 23.

14. *μηδέν*, weil der Relativsatz noch unter dem Einflusse des hypothetischen Hauptsatzes *οὔτ᾽ ἂν — ἦγε* steht, = *τοὺς μηδὲν αὐτὸν ἠδικηκότος, a quibus nullam iniuriam accepisset. — νῦν δέ*, Gegens. zu der Hypothese *εἰ ἦν δίκαιος*.

16. *οὕτω εὐπετέως*, erg. *ὡς ἐγὼ νῦν ἕλκω*. Vgl. IV 9 22. Äthiopische Bogen werden VII 69 beschrieben. Strab. p. 822 *χρῶνται δὲ καὶ τόξοις Αἰθίοπες τετραπήχεσι ξυλίνοις πεπυρακτωμένοις*.

17. *ἕλκωσι*, eig. von den Bogensehnen.

20. *ἐπὶ νόον τράπουσι* ‘in den Sinn geben, auf den Gedanken bringen’. Vgl. *ἐπὶ νόον ποιέειν τινί* I 27 12, wo auch über *Αἰθιόπων παισί*.

22. 6. *δολερά*, indem sie eine Farbe heuchelten, die ihnen nicht eigentümlich war. Vgl. Klemens Alex. Strom. p. 344 *τὸ μύρον καὶ τὴν πορφύραν οἱ παλαιοὶ Λακεδαιμόνιοι (παρῃτοῦντο), δολερὰ μὲν τὰ εἵματα δολερὰ δὲ τὰ χρίματα ὑπολαβόντες ὀρθῶς καὶ ὀνομάσαντες.*

Digitized by Google

μένον· εἰπόντων δὲ τῶν Ἰχθυοφάγων τὴν ἀληθείην περὶ τῆς πορφύρης καὶ τῆς βαφῆς, δολεροὺς μὲν τοὺς ἀνθρώπους ἔφη εἶναι, δολερὰ δὲ αὐτῶν τὰ εἵματα. δεύτερα δὲ τὸν χρύσεον εἰρώτα στρεπτὸν τὸν περιαυχένιον καὶ τὰ ψέλια· ἐξηγεομένων δὲ τῶν Ἰχθυοφάγων τὸν κόσμον αὐτῶν, γελάσας ὁ βασιλεὺς καὶ νομίσας εἶναι σφέα πέδας εἶπε ὡς παρ' ἑωυτοῖσι εἰσὶ ῥωμαλεώτεραι τουτέων πέδαι. τρίτον δὲ εἰρώτα τὸ μύρον· εἰπόντων δὲ τῆς ποιήσιος πέρι καὶ ἀλείψιος, τὸν αὐτὸν λόγον τὸν καὶ περὶ τοῦ εἵματος εἶπε. ὡς δὲ ἐς τὸν οἶνον ἀπίκετο καὶ ἐπύθετο αὐτοῦ τὴν ποίησιν, ὑπερησθεὶς τῷ πόματι ἐπείρετο ὅ τι τε σιτέεται ὁ βασιλεὺς καὶ χρόνον ὁκόσον μακρότατον ἀνὴρ Πέρσης ζώει. οἱ δὲ σιτέεσθαι μὲν τὸν ἄρτον εἶπον, ἐξηγησάμενοι τῶν πυρῶν τὴν φύσιν, ὀγδώκοντα δὲ ἔτεα ζόης πλήρωμα ἀνδρὶ μακρότατον προκέεσθαι. πρὸς ταῦτα ὁ Αἰθίοψ ἔφη οὐδὲν θωμάζειν εἰ σιτεόμενοι κόπρον ἔτεα ὀλίγα ζώουσι· οὐδὲ γὰρ ἂν τοσαῦτα δύνασθαι ζώειν σφέας, εἰ μὴ τῷ πόματι ἀνέφερον, φράζων τοῖσι Ἰχθυοφάγοισι τὸν οἶ-

7. *εἰρώτα*, erg. *ὅ τι εἴη καὶ ὅκως πεποιημένον* (3). Ebenso Z. 11 *εἰρώτα τὸ μύρον*. I 174 *ἐπειρησομένους τὸ ἀντίξοον*, IV 134 *εἴρετο — τὸν θόρυβον*, VII 100 10. 142 4. IX 11 17. Vgl. auch IV 133 1. 156 2.

8. *τὸν κόσμον*, wie sie den Leib schmückten, indem sie um Hals und Arme gelegt wurden.

10. S. c. 23. 17.

12. *τὸν αὐτὸν λόγον*, nämlich *τὸ μύρον δολερὸν εἶναι*, indem es den Menschen Duft und Wohlgeruch heuchelt, der ihm nicht natürlich beiwohnt.

17. *τὸν ἄρτον*, das bekannte, gewöhnliche Weizenbrot (vgl. II 2 29). Oder ist *βασιλέα* hinter *τὸν* weggefallen?

18. *πλήρωμα* = *τέλος*, 'achtzig Jahre sei als längstes Lebensziel dem Sterblichen (*ἀνδρί*) gesteckt'. Vgl. zu I 32 10. VIII 43 3.

20. *κόπρον*, weil der Weizen der gedüngten Erde entsprießt.

22. *ἀναφέρειν* intrans. 'sich wieder emporheben, emporkommen (aus der Tiefe, dem Unglück), genesen, sich erholen' (von Krankheit, Wunde, Schwäche, Bestürzung). Suidas v. *ἀνέφερον* gibt als Beispiel: *διὰ δὲ τὸ βάρος τῶν ὅπλων ἐκ τῶν καταδυομένων ἀνέφερεν οὐδὲ εἷς*. Demosth. pro Megalop. 31 *ἂν δ' ἀνενέγκωσιν ἄρ' οἱ Θηβαῖοι καὶ σωθῶσιν*. Suidas v. *ἀνενεγκών*: *ὁ δὲ ἐλειποψύχησεν· ἀνενεγκόντα δὲ αὐτὸν ἀράμενοι οἱ φύλακες παρὰ τὸν βασιλέα φέρουσιν ἐκ τῆς νόσου περισωθέντα*. In ähnlichem Sinne das Passiv I 116 7. Vgl. auch *ἀναλαμβάνειν*. Durch den Genufs des 'Kotes', meint der König, müfsten

Digitized by Google

νον· τούτῳ γὰρ ἑωυτοὺς ὑπὸ Περσέων ἐσσοῦσθαι. ἀντει- **23**
ρομένων δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων τῆς ζόης καὶ
διαίτης πέρι, ἔτεα μὲν ⟨ἔφη⟩ ἐς εἴκοσι καὶ ἑκατὸν τοὺς
πολλοὺς αὐτῶν ἀπικνέεσθαι, ὑπερβάλλειν δὲ τινὰς καὶ
ταῦτα, σίτησιν δὲ εἶναι κρέα [τε] ἑφθὰ καὶ πόμα γάλα. 5
θῶμα δὲ ποιευμένων τῶν κατασκόπων περὶ τῶν ἐτέων,
ἐπὶ κρήνην σφι ἡγήσασθαι, ἀπ' ἧς λουόμενοι λιπαρώ-
τεροι ἐγένοντο, κατά περ εἰ ἐλαίου εἴη· ὄζειν δὲ ἀπ' αὐ-
τῆς ὡς εἰ ἴων. ἀσθενὲς δὲ τὸ ὕδωρ τῆς κρήνης ταύτης οὕ-
τω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι ὥστε μηδὲν οἷόν 10
τ' εἶναι ἐπ' αὐτοῦ ἐπιπλέειν, μήτε ξύλον μήτε τῶν ὅσα
ξύλου ἐστὶ ἐλαφρότερα, ἀλλὰ πάντα σφέα χωρέειν ἐς
βυσσόν. τὸ δὲ ὕδωρ τοῦτο εἴ σφι ἐστὶ ἀληθέως οἷόν τι
λέγεται, διὰ τοῦτο ἂν εἶεν, τούτῳ τὰ πάντα χρεώμενοι,
μακρόβιοι. ἀπὸ τῆς κρήνης δὲ ἀπαλλασσομένων, ἀγα- 15
γεῖν σφεας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας
ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι. ἔστι δὲ ἐν τούτοισι τοῖσι
Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον.

die Perser an Kräften so herunterkommen, dafs sie nicht einmal das geringe Alter von 80 J. erreichen würden, wenn sie sich nicht durch den Wein wieder zu Kräften brächten. — *φράζων — τὸν οἶνον*, Erklärung zu *τῷ πόματι*, denn von 'Wein' wufste der König nichts. Vgl. VI 99 7. VII 144 8. IX 55 11. *φράζων* = *δεικνύς, σημαίνων*. IV 113 7 steht noch *τῇ χειρί* dabei.

23. *τούτῳ*, nicht *τοῦτο* (wie V 1 13); denn die Äthiopen haben überhaupt keinen Wein und können nicht 'in dieser Beziehung, hierin' sich besiegt erklären, sondern in der Vergleichung der beiderseitigen Lebensgüter kommen die Perser nur mittelst des Weines in Vorteil.

5. *τε* ist vielleicht ein Rest von *τετραπόδων* (c. 18 3). — *ἀπ' ἧς*, mit dem aus der Quelle geschöpften Wasser. Od. *κ* 361 *ἕς ῥ' ἀσάμιν-θον ἔσασα* (den Odysseus) *λό' ἐκ τρίποδος μεγάλοιο.*

8. *εἴη*, sc. *ἡ κρήνη*. — *ὄζειν* hier impersonal, sonst gewöhnlich von der Person oder Sache, welche nach etwas (*τινός*) riecht, oder von dem Geruch (*ὀδμή* od. *ἡδύ* u. dgl.), der ausströmt. Übers. 'es strömе von ihr ein Geruch aus wie von Veilchen'. Vgl. c. 113 1.

9. *ἀσθενές*, zum Tragen, 'leicht', *tenuis; κοῦφον* bei Hippokrates *περὶ ἀέρων* 7. — Megasthenes Fr. 19 berichtet Ähnliches von dem Wasser eines indischen Flusses Silas.

11. *τῶν* demonstrativ = *τούτων*, homerisch; vor *ὅσα* noch c. 131 6. 133 9.

14. *τὰ πάντα* 'zu Allem, durchgängig' (I 99 5). — Wasser galt für um so gesünder und heilsamer, je leichter es war.

15. Man erwartet *ἀπαλλαχθέντων* od. *ἀπηλλαγμένων*; s. zu I 9 8.

Digitized by Google

θεησάμενοι δὲ καὶ τὸ δεσμωτήριον ἐθεήσαντο καὶ τὴν
24 τοῦ ἡλίου λεγομένην τράπεζαν. μετὰ δὲ ταύτην τελευταίας ἐθεήσαντο τὰς θήκας αὐτῶν, αἳ λέγονται σκευάζεσθαι ἐξ ὑέλου τρόπῳ τοιῷδε· ἐπεὰν τὸν νεκρὸν ἰσχνήνωσι, εἴτε δὴ κατά περ Αἰγύπτιοι εἴτε ἄλλως κως, γυψώσαντες ἅπαντα αὐτὸν γραφῇ κοσμέουσι, ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατόν, ἔπειτα δέ οἱ περιστᾶσι στήλην ἐξ ὑέλου πεποιημένην κοίλην· ἡ δέ σφι πολλὴ καὶ εὐεργὸς ὀρύσσεται· ἐν μέσῃ δὲ τῇ στήλῃ ἐνεὼν διαφαίνεται ὁ νέκυς, οὔτε ὀδμὴν οὐδεμίαν ἄχαριν παρεχόμενος οὔτε ἄλλο ἀεικὲς οὐδέν· καὶ ἔχει πάντα φανερὰ ὁμοίως αὐτῷ τῷ νέκυϊ. ἐνιαυτὸν μὲν δὴ ἔχουσι τὴν στήλην ἐν τοῖσι οἰκίοισι οἱ μάλιστα προσήκοντες, πάντων ἀπαρχόμενοι καὶ θυσίας οἱ προσάγοντες· μετὰ δὲ ταῦτα ἐκκομίσαντες ἱστᾶσι περὶ τὴν πόλιν.

25 Θεησάμενοι δὲ τὰ πάντα οἱ κατάσκοποι ἀπαλλάσσονται ὀπίσω. ἀπαγγειλάντων δὲ ταῦτα τούτων, αὐτίκα

24. 2. *τελευταίας* 'zuletzt'. Zu I 91 22. — *θήκη* 'Totenlade, Sarkophag' (I 67 11. II 148 21. 169 25); sonst auch = *τάφος* od. *οἴκημα θηκαῖον* (I 187 18. II 67 3. 69 11. 136 12. III 16 28. 37 2. IV 35 17. 71 19).

4. *κατά περ Αἰγύπτιοι*; s. II 86 ff.

5 f. *ἅπαντα* gehört auch zu *γραφῇ κοσμέουσι*, 'sie bemalen die ganze mit Gips überzogene Mumie', nicht etwa blofs die Vorderseite. — *ἐξομοιεῦντες*, die Gipshülle dem Verstorbenen in seiner äufseren Bildung (*τὸ εἶδος*).

7 f. Welches Mineral mit *ὕελος* (att. *ὕαλος*) zu verstehen, ist unfindlich; jedenfalls nicht Kristall oder eigentliches Glas, denn zu jenem pafst nicht *εὐεργός*, zu diesem nicht *ὀρύσσεται*. Sollte H. die in Ägypten seit alters heimische und hochentwickelte Glasbereitung nicht gekannt und den Glasfluss für ein natürliches Mineral gehalten haben? Immerhin mochte den Hellenen, die noch zu H.'s Zeit Glaswaren den goldenen an Kostbarkeit gleichstellten, diese Art von Totenbestattung ebenso wunderbar erscheinen wie die goldenen Fesseln.

10. *ἄλλο ἀεικὲς οὐδέν*, insbesondere keine *εὐλάς* (c. 16 19), was durch die *ἴσχνανσις* (4) verhütet wurde. — *ἔχει φανερά* = *φαίνει* (zu II 85 6), nämlich *ὁ νέκυς ὁ γυψωθεὶς καὶ γραφῇ κοσμηθείς*, wogegen *αὐτὸς ὁ νέκυς* der blofse nackte Leichnam ist. — *πάντα*, alle Gliedmafsen.

13. *ἀπαρχόμενοι*; die Toten erhielten von jedem Gerichte vorab einen Anteil (*ἀπαρχαί*, *primitiae*). Vgl. IV 61 14. — Auch in Ägypten pflegte man die Toten noch eine Zeit lang im Hause zu behalten und ihnen zu opfern.

14. Zu *ἱστᾶσι περὶ τὴν πόλιν* ist nicht mehr die einzelne *στήλη*, sondern die Gesamtheit der Leichersäulen gedacht.

Digitized by Google

ὁ Καμβύσης ὀργὴν ποιησάμενος ἐστρατεύετο ἐπὶ τοὺς Αἰθίοπας, οὔτε παρασκευὴν σίτου οὐδεμίαν παραγγείλας, οὔτε λόγον ἑωυτῷ δοὺς ὅτι ἐς τὰ ἔσχατα γῆς ἔμελλε στρατεύεσθαι· οἷα δὲ ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης, ὡς ἤκουε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο, Ἑλλήνων μὲν τοὺς παρεόντας αὐτοῦ τάξας ὑπομένειν, τὸν δὲ πεζὸν πάντα ἅμα ἀγόμενος. ἐπείτε δὲ στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ ὡς πέντε μυριάδας, καὶ τούτοισι μὲν ἐνετέλλετο Ἀμμωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον τὸ τοῦ Διὸς ἐμπρῆσαι, αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν ἤιε ἐπὶ τοὺς Αἰθίοπας. πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος διεληλυθέναι τὴν στρατιήν, αὐτίκα πάντα αὐτοὺς τὰ εἶχον σιτίων ἐχόμενα ἐπελελοίπεε, μετὰ δὲ τὰ σιτία καὶ τὰ ὑποζύγια ἐπέλιπε κατεσθιόμενα. εἰ μέν νυν μαθὼν ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχεε καὶ ἀπῆγε ὀπίσω τὸν

25. 3. *ὀργὴν ποιησάμενος* = *ὀργισθείς.*

4. *παραγγέλλειν, imperare.*

5. *τὰ ἔσχατα γῆς*: denn die *Αἰθίοπες μακρόβιοι* wohnten *Λιβύης ἐπὶ τῇ νοτίῃ θαλάσσῃ* (c. 17 3); vgl. c. 114.

6 f. *ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης*: eine eigentümliche Zusammenstellung zweier gleichdeutiger Ausdrücke, und zwar eines positiven und eines negativen, die besonders auch von Sophokles mit Vorliebe gebraucht wird, um einer Aussage Nachdruck zu verleihen. So II 172 *σοφίῃ, οὐκ ἀγνωμοσύνῃ*, III 35 *παραφρονέειν καὶ οὐκ εἶναι νοήμονα*, IV 161 *χωλός τε ἐὼν καὶ οὐκ ἀρτίπους*, V 42 *οὐ φρενήρης ἀκρομανής τε*, IX 55 *μαινόμενον καὶ οὐ φρενήρεα*, I 35 3. V 42 7. VII 46 14. 222 4. 226 11. VIII 16 6. Od. ψ 265 *μυθήσομαι οὐδ' ἐπικεύσω.* Hymn. Hom. I 1 *μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.* Soph. Ant. 443 *καὶ φημὶ δρᾶσαι κούκ ἀπαρνοῦμαι τὸ μή*, 491 *λυσσῶσαν αὐτὴν οὐδ' ἐπήβολον φρενῶν*, Fr. 754 Nauck. *τυφλὸς — οὐδ' ὁρῶν Ἄρης.* Vgl. auch Fälle wie II 43 *οὐκ ἥκιστα ἀλλὰ μάλιστα*, 49 *οὐκ ἀδαὴς ἀλλ' ἔμπειρος*, III 69 *οὐ χαλεπῶς ἀλλ' εὐπετέως*, IX 17 *οὐκ ἑκόντες ἀλλ' ὑπ' ἀναγκαίης.* — *φρενήρης* poetisch, 'bei Verstande', gewöhnlich mit der Negation. — Vgl. zu c. 30 1.

8. *τοὺς παρεόντας*, Ioner und Äoler (c. 1); es war Schiffsvolk (29) wie auch der Gegens. *τὸν δὲ πεζόν* zeigt.

10. In Theben soll Kambyses angeblich die Tempel geplündert und verwüstet haben (Strab. p. 816. Diodor I 46).

11. *πέντε μυριάδας*: die Zahl ist übertrieben und aufser Verhältnis zur geringen Anzahl der Ammonier, wenn auch das alte Ammonion bevölkerter gewesen sein sollte als jetzt, wo es dicht bevölkert ist.

15. *αὐτίκα*: vgl. c. 39 9. *πρὶν — διεληλυθέναι* dem Sinne nach = *ἐν ὀλίγῳ χρόνῳ.*

16. *σιτίων ἐχόμενα*: zu I 120 17.

18. *γνωσιμαχέειν*, altes (episches)

Digitized by Google

στρατόν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι ἦν ἂν ἀνὴρ σοφός· νῦν δὲ οὐδένα λόγον ποιεύμενος ἤιε αἰεὶ ἐς τὸ πρόσω. οἱ δὲ στρατιῶται ἕως μέν τι εἶχον ἐκ τῆς γῆς λαμβάνειν, ποιηφαγέοντες διέζωον, ἐπεὶ δὲ ἐς τὴν ψάμμον ἀπίκοντο, δεινὸν ἔργον αὐτῶν τινες ἐργάσαντο· ἐκ δεκάδος γὰρ ἕνα σφέων αὐτῶν ἀποκληρώσαντες κατέφαγον. πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ' Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο, καὶ ἀπικνέεται ἐς Θήβας πολλοὺς ἀπολέσας τοῦ στρατοῦ· ἐκ Θηβέων δὲ καταβὰς ἐς Μέμφιν **26** τοὺς Ἕλληνας ἀπῆκε ἀποπλέειν. ὁ μὲν ἐπ' Αἰθίοπας στόλος οὕτω ἔπρηξε· οἱ δ' αὐτῶν ἐπ' Ἀμμωνίους ἀποσταλέντες στρατεύεσθαι, ἐπείτε ὁρμηθέντες ἐκ τῶν Θηβέων ἐπορεύοντο ἔχοντες ἀγωγούς, ἀπικόμενοι μὲν φανεροί εἰσι ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι

Wort, 'mit der eigenen Meinung, Absicht in Widerstreit sein', erkennen, dafs die bisherige Ansicht oder Haltung irrig oder thöricht war, sich besinnen, inne werden (*τι*), nachgeben. Also: 'hätte K. seinen Fehler eingesehen, sich eines bessern besonnen'. VII 130 *γνωσιμαχέοντες* 'weil sie inne wurden'. VIII 20 *γνωσιμαχέετε* 'kommt zu der (besseren) Einsicht, erkennt'. Aristoph. Vög. 555 *κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ μηδ' εὐθὺς γνωσιμαχήσῃ, Ἱερὸν πόλεμον προωὐδᾶν αὐτῷ.* Eurip. Her. 706 (zu einem kampflustigen Greise) *χρὴ γνωσιμαχεῖν τὴν ἡλικίαν τὰ δ' ἀμήχαν' ἐᾶν.*

19. *ἐπί* zeitlich, 'nach' (I 170 11), was in diesem Zusammenhange in die Bedeutung 'trotz' übergeht.

22. *ἐς τὴν ψάμμον*, näml. *ἐς τὴν ψαμμώδεα ὀφρύην*, welche Libyen von Theben bis zu den Heraklessäulen quer durchzieht (II 32. IV 181). Die Stelle zeigt dafs H. die 'langlebenden' Äthiopen und die von Meroë sich nicht identisch dachte (vgl. zu c. 17 3). Denn der zu diesen von Ägypten aus führende Weg (s. II 29) blieb im Nilthal und liefs die *ψάμμος* rechts liegen. — Andere Nachrichten lassen die Perser nach Meroë ziehen und auch hingelangen. Strabon p. 790 *Καμβύσης τὴν Αἴγυπτον κατασχὼν προῆλθε καὶ μέχρι τῆς Μερόης μετὰ τῶν Αἰγυπτίων· καὶ δὴ καὶ τοὔνομα τῇ τε νήσῳ καὶ τῇ πόλει τοῦτο παρ' ἐκείνου τεθῆναι φασίν, ἐκεῖ τῆς ἀδελφῆς ἀποθανούσης αὐτῷ Μερόης.* Diodor I 33. Ioseph. Arch. II 10 2.

26. 2. *οὕτω ἔπρηξε* 'erfuhr solches Schicksal, lief so ab' (VII 18 11). — *αὐτῶν*, des persischen Heeres. Vgl. c. 25 15.

5 ff. *Ὄασιν πόλιν*: vgl. 8 *ὁ χῶρος οὗτος* und 16 *τῆς Ὀάσιος*. Stadt und Gegend waren gleichnamig. 'Das Wort *Ὄασις* ist ägyptischen Ursprungs. Es lautet in den Hieroglyphen *vach*, und bezeichnet zunächst nichts weiter als eine 'Anpflanzung', ein mit Pflanzenwuchs bedecktes Gefilde. Daher die koptische Benennung *vahe* und die arabische *uaḥ*, *waḥ*. Das Wort

Digitized by Google

τῆς Αἰσχριωνίης φυλῆς λεγόμενοι εἶναι, ἀπέχει δὲ ἑπτὰ ἡμερέων ὁδὸν ἀπὸ Θηβέων διὰ ψάμμου· ὀνομάζεται δὲ ὁ χῶρος οὗτος κατὰ Ἑλλήνων γλῶσσαν Μακάρων νῆσος. ἐς μὲν δὴ τοῦτον τὸν χῶρον λέγεται ἀπικέσθαι τὸν στρατόν, τὸ ἐνθεῦτεν δέ, ὅτι μὴ αὐτοὶ Ἀμμώνιοι καὶ οἱ τούτων ἀκούσαντες, ἄλλοι οὐδένες οὐδὲν ἔχουσι εἰπεῖν περὶ αὐτῶν· οὔτε γὰρ ἐς τοὺς Ἀμμωνίους ἀπίκοντο οὔτε ὀπίσω ἐνόστησαν. λέγεται δὲ κατὰ τάδε ὑπ' αὐτῶν Ἀμμωνίων· ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης ἰέναι διὰ τῆς ψάμμου ἐπὶ σφέας, γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτῶν τε καὶ τῆς Ὀάσιος, ⟨καὶ⟩ ἄριστον αἱρεομένοισι αὐτοῖσι ἐπιπνεῦσαι νότον μέγαν

ist im ägyptischen Altertum nicht als eigentliches nomen proprium gebraucht worden, da die Oasen die geographische Bezeichnung *uit* od. *ueit* führten. Nach den Denkmälern gab es sieben Oasen, welche als den Ägyptiern unterwürfig betrachtet wurden. Davon hiefs die 5. *Kenem* od. *Kenemem* (das heutige Ghanaïm. Oase von Khargieh oder Khargeh 'die äufsere'), die 6. *Testes* (heute Dakhalieh oder Dakhel 'die innere', westlich von der vorigen), die 7. *Sochet-am* od. *-amam* 'das Dattelbaumgefilde', Oase des Jupiter Amon (h. Siwah, Siuah). In allen sieben wurde der Amon von Theben als Hauptgott verehrt. Hier ist die 5. gemeint, die Ὄασις μεγάλη, *Oasis maior* der Alten, die ungefähr in der Breite des alten Theben liegt. Die gleichnamige Stadt (hierogl. *Hib* od. *Hibe*) mufs in der Nähe des j. Hauptortes el Khargeh gelegen haben, wo noch Trümmer einer altägyptischen Stadt und eines von König Dariuserbauten Amontempels (nach Brugsch). Ihre Entfernung von Theben wird auch von dem Reisenden Caillaud auf 7 T. angegeben. — Die samische φυλὴ Αἰσχριωνίη ist sonst nicht bekannt; zwei andere hiefsen Χηναίη und Ἀστυπάλαια (Et. M. p. 160 22). Vgl. zu c. 39 4. Ein samischer Iambendichter des 4. Jahrh. v. Chr. heifst *Αἰσχρίων*. Wie übrigens Samier nach Oasis kamen, bleibt dunkel. — *Μακάρων νῆσος* mufste den hellenischen Leser an die *μακάρων νῆσοι* seiner Sage erinnern. 'In der That, der Kontrast, den diese mit Quellen und üppiger Vegetation bedeckten Stellen mit der schauervollen Einöde bilden, worin der Reisende mehrere Tage schmachten mufs, ehe er sie erreicht, rechtfertigt den Ausdruck vollkommen' (*Ideler*). Die eigentliche Bedeutung des Wortes *ὄασις* (auch *αὔασις* und *ὕασις*) erfuhr H. nicht. Strabon. p. 791 *αὐάσεις οἱ Αἰγύπτιοι καλοῦσι τὰς οἰκουμένας χώρας περιεχομένας κύκλῳ μεγάλαις ἐρημίαις ὡς ἂν νήσους πελαγίας.*

14. *αὐτῶν*, die es am nächsten anging. — *ἐπειδὴ — ἰέναι*: zu I 24 30.

15 ff. *γενέσθαι τε — καὶ .. ἐπιπνεῦσαι*: durch die parallele Gliederung wird die zeitliche Kongruenz der beiden Ereignisse angedeutet, wie c. 76 4. 108 20. S. zu II 93 25.

17. Nach einer Nachricht bei Strabon betraf die Katastrophe das unter Kambyses' Führung marschierende Heer und fiel in Nubien vor (vgl. zu c. 25 22), p. 820 vom Römer

Digitized by Google

[illegible]

[illegible] Ἔπαφον [illegible] Aegypten. [illegible] Den Namen leitet Aeschylos Prom. 851 von ἐπαφῆς ab: ἐνταῦθα δή σε [illegible] Ζεὺς τίθησιν ἔμφρονα … Ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον.

[illegible] — eine Ab[illegible] [illegible] bezeichnete [illegible] hinweist. [illegible] die Namen [illegible] und [illegible] in Sprachgebrauche entsprechen [illegible] aber den ägyptischen [illegible] mit dem Sinne [illegible] lässt sein [illegible] nicht zu. Auch [illegible] die Aegypter selbst [illegible]

[illegible] der Apis [illegible] man [illegible] was dem [illegible] entstand [illegible] festlicher Jubel. Der junge Stier wurde, nachdem er vier Monate lang [illegible] seiner Geburt [illegible] war, auf 40 Tage nach [illegible] und darauf auf einer [illegible] Barke [illegible] nach Memphis geführt [illegible] a. O.).

[illegible] in der festen [illegible] — [illegible] als Freudenfest. Plut. mor. p. 362 [illegible] οἱ Αἰγύπτιοι [illegible] καλοῦσιν. Es dauerte sieben Tage (Plin. nat. hist. VIII 186).

τότε δὲ ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς πλῆθός τι ἀποβαλών. οἱ δὲ ἔφραζον ὡς σφι θεὸς εἴη φανεὶς διὰ χρόνου πολλοῦ ἐωθὼς ἐπιφαίνεσθαι, καὶ ὡς ἐπεὰν φανῇ τότε πάντες Αἰγύπτιοι κεχαρηκότες ὀρτάζοιεν. ταῦτα ἀκούσας ὁ Καμβύσης ἔφη ψεύδεσθαι σφέας καὶ ὡς ψευδομένους θανάτῳ ἐζημίου. ἀποκτείνας δὲ τούτους 28 δεύτερα τοὺς ἱρέας ἐκάλεε ἐς ὄψιν· λεγόντων δὲ κατὰ ταὐτὰ τῶν ἱρέων, οὐ λήσειν ἔφη ἑωυτὸν εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυπτίοισι. τοσαῦτα δὲ εἴπας ἀπάγειν ἐκέλευε τὸν Ἆπιν τοὺς ἱρέας. οἱ μὲν δὴ μετήισαν ἄξοντες. ὁ δὲ Ἆπις οὗτος ὁ Ἔπαφος γίνεται μόσχος ἐκ βοός, ἥτις οὐκέτι οἵη τε γίνεται ἐς γαστέρα ἄλλον βάλλεσθαι γόνον. Αἰγύπτιοι δὲ λέγουσι σέλας ἐπὶ τὴν βοῦν ἐκ τοῦ οὐρανοῦ κατίσχειν, καὶ μιν ἐκ τούτου τίκτειν τὸν Ἆπιν. ἔχει δὲ ὁ μόσχος οὗτος ὁ Ἆπις κα-

10. *τι*: zu c. 14 48.

11 f. *θεός*: Strabon p. 803 *οὗτος μὲν οὖν* (Ἆπις und der in Heliopolis verehrte Stier *Μνεῦις*) *θεοὶ νομίζονται, οἱ δὲ παρὰ τοῖς ἄλλοις* (*παρὰ πολλοῖς γὰρ δὴ ἔν τε τῷ Δέλτα καὶ ἔξω αὐτοῦ τοῖς μὲν ἄρρην τοῖς δὲ θήλεια τρέφεται*), *οὗτοι δὲ θεοὶ μὲν οὐ νομίζονται ἱεροὶ δέ.* Aelian. a. O. *θεὸς Αἰγυπτίοις ἐναργέστατος ὁ Ἆπις εἶναι πιστεύεται.* Er wird auch geradezu mit Osiris identificiert, dessen Seele in ihn übergehen und dessen 'belebtes Bild' er sein soll (Plut. mor. p. 368). S. zu II 38 1. — *διὰ χρόνου πολλοῦ* 'nach Verlauf einer langen Zeit', d. i. nach dem Tode des je lebenden Apis.

14. *ὡς ψευδομένους*: vgl. I 138 *αἴσχιστον δὲ αὐτοῖσι* (sc. *Πέρσῃσι*) *τὸ ψεύδεσθαι νενόμισται.*

28. 4. *χειροήθης* 'an die Hand gewöhnt', *mansuetus* (II 69 6). Den an einen bilderlosen Götterdienst gewöhnten Persern (I 131) mußte ein Gott in gemeiner Stiergestalt als ein lächerlicher Greuel erscheinen; vgl. c. 29 4 ff. — *τοσαῦτα* 'nur soviel' (I 128 4).

5. *ἀπάγειν* 'herzuführen' (II 114 11).

7 f. *ἥτις*: vgl. zu IV 8 4. — *οὐκέτι*, nach der Geburt des Apis. — *ἥτις οὐκέτι οἵη τε γίνεται, cui non iam licet, fas est* (I 29 9). Sie wurde deshalb in einem dem Apishof benachbarten Stall gehalten (Strabon p. 806). — *ἐς γαστέρα βάλλεσθαι* = *ἀναιρέεσθαι* (c. 108 12), *συλλαμβάνειν, ἐν γαστρὶ ἴσχειν* (IV 30 9) oder bloß *ἴσχειν* (V 41 12); bei Hippokrates *συναρπάζειν τὸν γόνον* (von der *μήτρη*). Vgl. *βάλλεσθαι ἐς θυμόν* od. *ἐμβάλλεσθαι θυμῷ* = *θυμῷ λαμβάνειν, ἐς νόον ἐμβάλλεσθαι* = *νόῳ λαμβάνειν.*

9. *ἐκ τοῦ οὐρανοῦ*: die mystische Zeugung des Apis führte man auch wohl auf den Mond zurück; Plut. mor. p. 718 *τὸν Ἆπιν λοχεύεσθαι φασὶν ἐπαφῇ τῆς σελήνης*, p. 368 *οἴονται γενέσθαι ὅταν φῶς ἁρπίσῃ γόνιμον ἀπὸ τῆς σελήνης καὶ καθάψηται βοὸς ὀργώσης.* — *κατίσχειν* hier intransitiv, 'niederfahren'; vgl. *ἀνίσχειν* (c. 98 4), und das hier synonyme *κατασκήπτειν* (VII 134 2. 137 7. VIII 65 17).

Digitized by Google

ἰδόντας ὅτι τε τοιαῦτα ἐστὶ δεινὰ ἐπὶ τῷ μετώπῳ λευκόν τι τρίγωνον, ἔτι τε ἐπὶ τῷ νώτῳ τοιοῦτον εἰκασμένον, ἐν δὲ τῇ οὐρῇ τὰς τρίχας διπλᾶς, τὰ δὲ τῇ γλώσσῃ μὴ ὁμοίως. ὡς δὲ ἔγνωσαν τὸν Ἄπιν οἱ ἱρέες, ὁ Καμβύσης, οὐκ ἐὼν ὑγιαίνων τὴν διάνοιαν, δεύτερα τῶν πρηγμάτων τοῦ Ἄπιος ποιέει τάδε· τοὺς μὲν ἱρέας ἐπὶ τὰ ἀδικήματα ἐκόλασε μάστιξι, τοὺς δὲ ἄλλους Αἰγυπτίους ὅσους ἐπιλάβοιτο γελῶντας ἀπέκτεινε.

11 ff. Vgl. die einem Monumente entnommene Figur. — Aelian. a. O. behauptet, die von H. gegebene Beschreibung der Apis-male würde von den Ägyptiern als ungenau verworfen; die Zahl derselben belieſe sich vielmehr auf 29. Auch fügt Plinius VIII 184 ein von H. ausgelassenes hinzu: *insigne ei in dextro latere candicans macula cornibus lunae crescere incipientis.* — *ἀὼν μέλας* 'während er im übrigen schwarz ist'. — *λευκόν τι τρίγωνον*, 'einen dreieckigen weiſsen Fleck'. Die Hss. haben *λευκὸν τετράγωνον* in Widerspruch mit den überkommenen Darstellungen. — *αἰετὸν εἰκασμένον* 'das Bild eines Adlers'.

29. 2 ἦν *ἐκεῖνος ἄτερος* (noch c. 145 2. VI 75 3. ist auf eigentümliche pleonastische Weise die Ermäſsigung des Grades der Eigenschaft, 'einigermaſsen toll, schon bis zu einem gewissen Grade verrückt', sowohl durch πρό- als durch den Komparativ ausgedrückt. Ähnlich II 12 *πρόσω μᾶλλον*, IV 95 *ἐπαμφοτερώτερος*, VI 35 *ἐπιθερμότερος*. Vgl. auch Cic. ad Att. IV 5 *sutturpicula mihi videbatur esse παιπαφία.*

4f. *κακαὶ κεφαλαί*, *impurae capitae*, 'arge Schelme'. *κεφαλή* ist sowohl bei freundlicher als schmähender Anrede üblich. Il. Ψ 281 *Τεῦκρε, φίλη κεφαλή*, Aristoph. Ach. 285 *σὲ μὲν οὖν καταλέγωμεν, ὦ μιαρὰ κεφαλή*. — *τοιοῦτοι*, Prädikat. Dahinter ist wohl *δή* oder *ἄρα* ausgefallen.

6. *ἐπαΐειν* = *αἰσθάνεσθαι* (Hesych.) 'fühlen', *sentire*. So auch oft bei Hippokrates.

7. *χαίροντες* 'ungestraft' (c. 69 7. VI 50 6. IX 106 12). Vgl. zu I 128 4.

8f. *τοῖσι ταῦτα πρήσσουσι*, den mit diesem Dienste Beauftragten, den betreffenden Beamten. Ähnliche Umschreibung für 'Scharfrichter' IV 84 *τοὺς ἐπὶ τούτων ἐπεστεῶτας*, VII 36 *οἱ μὲν ταῦτα*

Digitized by Google

γυπτίων δὲ τῶν ἄλλων τὸν ἂν λάβωσι ὀρτάζοντα κτείνειν. ὀρτὴ μὲν δὴ διελέλυτο Αἰγυπτίοισι, οἱ δὲ ἱρέες ἐδικαιεῦντο, ὁ δὲ Ἆπις πεπληγμένος τὸν μηρὸν ἔφθινε ἐν τῷ ἱρῷ κατακείμενος. καὶ τὸν μὲν τελευτήσαντα ἐκ τοῦ τρώματος ἔθαψαν οἱ ἱρέες λάθρῃ Καμβύσεω.

Καμβύσης δέ, ὡς λέγουσι Αἰγύπτιοι, αὐτίκα διὰ τοῦτο τὸ ἀδίκημα ἐμάνη, ἐὼν οὐδὲ πρότερον φρενήρης. καὶ πρῶτα μὲν [τῶν κακῶν] ἐξεργάσατο τὸν ἀδελφεὸν Σμέρδιν ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς, τὸν ἀπέπεμψε ἐς Πέρσας φθόνῳ ἐξ Αἰγύπτου, ὅτι τὸ

ἐπολεον, *τοῖσι προσέκειτο αὕτη ἡ ἄχαρις τιμή*, 39 *τοῖσι προσετέτακτο ταῦτα πρήσσειν*, 238· *τοῖσι ἐπετέτακτο ποιέειν*.

11. Man erwartet *ἡ μὲν δὴ ὀρτή*. Über diesen Mangel des Artikels zu IX 88 3.

13. *ἐν τῷ ἱρῷ*: die Halle, in welcher der Stier gehalten wurde, war von Psammetichos in Anschluſs an die südlichen Propyläen des Ptah-tempels in Memphis gebaut worden (vgl. II 153).

14. *ἔθαψαν*: die toten Apisstiere wurden von den Priestern unter groſsem Aufwande von Glanz und Pracht im s. g. *Σαραπεῖον* ('Tempel des Sarapis' d. i. des *Osarhapi* oder Osiris-Apis = 'des toten Apis') beigesetzt. Dahin führte von der Westseite des Ptah-tempels eine Sphinx-allee, die aber schon zu Strabons Zeit von Wüstensand bedeckt war (p. 807). Unter den Tempelgebäuden befanden sich unterirdische Säle, wo die Stierleiber in kostbaren Sarkophagen aufgestellt wurden. *Mariette*, der in neuerer Zeit die Allee und das Sarapeion sammt den Apisgräbern wieder aufgedeckt hat, fand noch 64 Gräber mit Denksteinen aus der Zeit des Königs Amenophis III (um 1500 v. Chr.) bis zum Ausgang der Ptolemäer; darunter auch einen aus der Regierungszeit und mit dem Namen des Kambyses.

30. *ὡς λέγουσι Αἰγ.* und gleich *ἐὼν οὐδὲ πρότερον φρενήρης* setzt der Vf. vorsichtig hinzu; denn nach seiner Ansicht war Kambyses schon vor dieser That infolge einer Krankheit schwachsinnig (c. 33). Vgl. VI 75 5.

3. *τῶν κακῶν* ist aus c. 31 1 interpoliert. — *ἐξεργάζεσθαι* = *διαφθείρειν* (c. 31 2. IV 134 23. V 19 13); vgl. *κατεργάζεσθαι* I 24 17.

4. *Σμέρδιν*: Ktesias Exc. Pers. 8 nennt des Kambyses jüngeren Bruder *Ταννοξάρκης* (= *Tanuvazarka* 'von starkem Körper', nach Oppert: vgl. unten 6), Xenophon Kyr. VIII 7 11 *Ταναοξάρης*. Für den Namen *Σμέρδις* zeugt Dareios Hystaspis selber in der Felseninschrift zu Behistân (Col. I Z. 10; vgl. zu I 130 7): 'Kambujiya mit Namen, der Sohn des Kuru, von unserer Familie, der war vorher hier König. Dieser Kambujiya hatte einen Bruder, *Bardiya* mit Namen, von gleichem Vater und gleicher Mutter mit Kambujiya. Darauf tötete Kambujiya diesen Bardiya'. (Nach Spiegels altpers. Keilinschriften.) — Die Form *Bardiya* ging in hellenischem Munde zunächst in *Μάρδις* (so od. *Μάρδος* Äsch. Pers. 774) und dann in *Σμέρδις* über (vgl. *μικρός σμικρός*, *μάραγδος σμάραγδος* u. ä.). Auch in *Μεγάβαζος*, *Μεγαβάτης* u. ä. ist der Nasal aus dem organisch verwandten

Digitized by Google

τόξον μοῦνος Περσέων ὅσον τε ἐπὶ δύο δακτύλους εἴρυσε, τὸ παρὰ τοῦ Αἰθίοπος ἤνεικαν οἱ Ἰχθυοφάγοι, τῶν δὲ ἄλλων Περσέων οὐδεὶς οἷός τε ἐγένετο. ἀποιχομένου ὦν ἐς Πέρσας τοῦ Σμέρδιος ὄψιν εἶδε ὁ Καμβύσης ἐν τῷ ὕπνῳ τοιήνδε· ἔδοξέ οἱ ἄγγελον ἐλθόντα ἐκ Περσέων ἀγγέλλειν ὡς ἐν τῷ θρόνῳ τῷ βασιληίῳ ἱζόμενος Σμέρδις τῇ κεφαλῇ τοῦ οὐρανοῦ ψαύσειε. πρὸς ὧν ταῦτα δείσας περὶ ἑωυτοῦ μή μιν ἀποκτείνας ὁ ἀδελφεὸς ἄρχῃ, πέμπει Πρηξάσπεα ἐς Πέρσας, ὃς ἦν οἱ ἀνὴρ Περσέων πιστότατος, ἀποκτενέοντά μιν. ὁ δὲ ἀναβὰς ἐς Σοῦσα ἀπέκτεινε Σμέρδιν, οἱ μὲν λέγουσι ἐπ' ἄγρην ἐξαγαγόντα, οἱ δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν προαγαγόντα καταποντῶσαι.

31 Πρῶτον μὲν δὴ λέγουσι Καμβύσῃ τῶν κακῶν ἄρξαι τοῦτο· δεύτερα δὲ ἐξεργάσατο τὴν ἀδελφεὴν ἐπισπομένην οἱ ἐς Αἴγυπτον, τῇ καὶ συνοίκεε καὶ ἦν οἱ ἀπ' ἀμφοτέρων ἀδελφεή. ἔγημε δὲ αὐτὴν ὧδε· οὐδαμῶς

β entstanden (*Μεγα-* = pers. *baga* 'Gott'). S. auch zu II 42 6. — *ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς*: um so abscheulicher war die That. Xen. An. III 1 17 vom Brudermörder Artaxerxes *καὶ τοῦ ὁμομητρίου καὶ ὁμοπατρίου ἀδελφοῦ — ἀποταμὼν τὴν κεφαλήν*. Die gemeinschaftliche Mutter war Kasandane (II 1 2. III 2 9).

6. *δακτύλους* 'Fingerbreiten', von denen 16 einen Fufs ausmachen (zu I 50 10).

7. *τοῦ Αἰθίοπος* = *τοῦ Αἰθιόπων βασιλέος*. S. c. 21.

10. *ἔδοξε*: sonst gebraucht H. in dieser Wendung das Imperfekt *ἐδόκεε* (I 107 5. 108 3. 209 3. II 139 3. III 64 3. 65 7. 124 3. V 56 2. VI 107 4. 131 10. VII 12 6. 18 2. 19 4). Inf. Aor. II 141 13, Inf. Praes. VI 117 11.

11. *ἐν*: c. 64 4. 65 5 *ἐς*.

13. *δείσας περὶ ἑωυτοῦ*: der Genitiv auch IX 101 12, sonst der Dativ (III 35 16. VII 163 3. VIII 74 5. 99 9. IX 73 9). — *μιν* = *ἑωυτόν*.

17. Dadurch dafs das zu *ἀπέκτεινε* gehörige Particip *ἐξαγαγόντα* unter den Einflufs von *λέγουσι* gezogen und deshalb in den Akkusativ gesetzt ist, wird die Satzfügung anakoluth. Strenger wäre *τὸν δὲ ἀναβάντα ἐς Σοῦσα οἱ μὲν λέγουσι ἀποκτεῖναι Σμέρδιν ἐπ' ἄγρην ἐξαγαγόντα*. Vgl. I 27 5. — *Ἐρυθρὴν θάλασσαν*: zu I 1 7. — Die Sache selbst wird durch die Behistân-inschrift dahin berichtigt, dafs Kambyses den Bruder noch vor der ägyptischen Expedition töten liefs; s. zu c. 61 2.

Kambyses tötet Schwester und Gattin, erschiefst den Sohn des Prexaspes und wütet gegen Kroesos (c. 31 bis 36).

31. *πρῶτον — ἄρξαι*: zu I 2 2.

3 f. *συνοίκεε*, als Gatte (I 37 12), — *οἱ ἦν* st. *ἦ οἱ ἦν*; zu II 40 4. — *ἀπ' ἀμφοτέρων*, näml. *ἀπὸ πατρὸς καὶ μητρός*. Ebenso VII 97 7. — Nach dem vorbereitenden Satze *οὐδαμῶς γὰρ* .. folgt die Aus-

Digitized by Google

γὰρ ἐώθεσαν πρότερον τῇσι ἀδελφεῇσι συνοικέειν Πέρσαι· ἡράσθη μιῆς τῶν ἀδελφεῶν Καμβύσης, καὶ ἔπειτα βουλόμενος αὐτὴν γῆμαι, ὅτι οὐκ ἐωθότα ἐπενόεε ποιήσειν, εἴρετο καλέσας τοὺς βασιληίους δικαστὰς εἴ τις ἐστὶ κελεύων νόμος τὸν βουλόμενον ἀδελφεῇ συνοικέειν. οἱ δὲ βασιλήιοι δικασταὶ κεκριμένοι ἄνδρες γίνονται Περσέων, ἐς οὗ ἀποθάνωσι ἢ σφι παρευρεθῇ τι ἄδικον, μέχρι τούτου· οὗτοι δὲ τοῖσι Πέρσῃσι δίκας δικάζουσι καὶ ἐξηγηταὶ τῶν πατρίων θεσμῶν γίνονται, καὶ πάντα ἐς τούτους ἀνακέεται. εἰρομένου ὦν τοῦ Καμβύσεω, ὑπεκρίνοντο αὐτῷ οὗτοι καὶ δίκαια καὶ ἀσφαλέα, φάμενοι νόμον οὐδένα ἐξευρίσκειν ὃς κελεύει ἀδελφεῇ συνοικέειν ἀδελφεόν, ἄλλον μέντοι ἐξευρηκέναι νόμον, τῷ βασιλεύοντι Περσέων ἐξεῖναι ποιέειν τὸ ἂν βούληται. οὕτω οὔτε τὸν νόμον ἔλυσαν, δείσαντες Καμβύσεα, ἵνα τε μὴ αὐτοὶ ἀπόλωνται τὸν νόμον περιστέλλοντες, παρεξεῦρον ἄλλον νόμον σύμμαχον αὐτῷ θέλοντι

führung von ἔγημε ὧδε Z. 6 ἡράσθη .. und zwar asyndetisch, wie II 60 2. III 159 9. IX 41 12. 83 5.

6. τῶν ἀδελφεῶν: deren kennt H. drei, die Atossa (unten zu 23), die hier gemeinte (vielleicht Meroë, vgl. Strabon zu c. 25 22), und die Artystone (c. 88).

7. ποιήσειν: der Infin. Fut. bei ἐπινοέειν noch c. 134 17. Vgl. I 109.

9. κελεύων 'gutheifsend'. ἀδελφεῇ συνοικέειν gehört sowohl zu κελεύων als zu τὸν βουλόμενον.

10. κεκριμένοι, selecti. Dieser höchste Gerichtshof und Staatsrat bestand wahrscheinlich aus sieben Mitgliedern. Buch Esther 1 14 fragt der König Ahasveros 'die Nächsten die um ihn waren, die sieben Obersten der Perser und Meder, die das Angesicht des Königs sehen durften, die den ersten Sitz hatten im Königreiche: was ist nach dem Rechte zu thun mit der Königin Vasthi?'. Joseph. Arch. XV 6 1 τοὺς ἑπτὰ τῶν Περσῶν οἳ τὴν τῶν νόμων ἐξήγησιν ἔχουσι παρ' αὐτοῖς. Auch der jüngere Kyros bildete sein Richterkollegium aus sieben der Vornehmsten (Xen. An. I 6 4). S. noch c. 14 19. V 25 6. VII 194 8.

11. ἐς οὗ = ἐς ὅ (I 67 21). — ἢ σφι παρευρεθῇ τι ἄδικον: zwei Fälle der Art s. V 25. VII 194. Über den blofsen Konjunktiv s. zu IV 172 14.

12. Von dem epanaleptischen μέχρι τούτου zu I 182 4. Die abgesonderte Stellung bewirkt einen kräftigen Nachdruck, 'nur so lange und nicht länger'.

14. ἀνακέεται = ἀνατέθειται, daher ἐς. S. zu I 97 3.

15. ὑπεκρίνοντο = att. ἀπεκρίνοντο.

19. δείσαντες Καμβύσεα gehört zu beiden Gliedern (οὔτε-τε; vgl. zu I 59 32), 'aus Furcht vor K. hoben sie das Gesetz nicht auf, sondern ..'

21. Die Hss. τῷ θέλοντι, wie τὸν βουλόμενον (9). Dieser zweite νόμος gilt aber eben nur für den König.

Digitized by Google

γαμέειν ἀδελφεάς. τότε μὲν δὴ ὁ Καμβύσης ἔγημε τὴν ἐρωμένην, μετὰ μέντοι οὐ πολλὸν χρόνον ἔσχε ἄλλην ἀδελφεήν. τουτέων δῆτα τὴν νεωτέρην ἐπισπομένην οἱ
32 ἐπ' Αἴγυπτον κτείνει. ἀμφὶ δὲ τῷ θανάτῳ αὐτῆς διξὸς ὥσπερ περὶ Σμέρδιος λέγεται λόγος. Ἕλληνες μὲν λέγουσι Καμβύσεα συμβαλεῖν σκύμνον λέοντος σκύλακι κυνός, θεωρέειν δὲ καὶ τὴν γυναῖκα ταύτην, νικωμένου δὲ τοῦ σκύλακος ἀδελφεὸν αὐτοῦ ἄλλον σκύλακα ἀπορρήξαντα τὸν δεσμὸν παραγενέσθαι οἱ, δύο δὲ γενομένους οὕτω δὴ τοὺς σκύλακας ἐπικρατῆσαι τοῦ σκύμνου. καὶ τὸν μὲν Καμβύσεα ἥδεσθαι θεώμενον, τὴν δὲ παρημένην δακρύειν. Καμβύσεα δὲ μαθόντα τοῦτο ἐπειρέσθαι δι' ὅ τι δακρύει, τὴν δὲ εἰπεῖν ὡς ἰδοῦσα τὸν σκύλακα τῷ ἀδελφεῷ τιμωρήσαντα δακρύσειε, μνησθεῖσά τε Σμέρδιος καὶ μαθοῦσα ὡς ἐκείνῳ οὐκ εἴη ὁ τιμωρήσων. Ἕλληνες μὲν δὴ διὰ τοῦτο τὸ ἔπος φασὶ αὐτὴν ἀπολέσθαι ὑπὸ Καμβύσεω, Αἰγύπτιοι δὲ ὡς τραπέζῃ παρακατημένων λαβοῦσαν θρίδακα τὴν γυναῖκα περιτῖλαι καὶ ἐπανειρέσθαι τὸν ἄνδρα κότερον περιτετιλμένη ἡ θρῖδαξ ἢ δασέα εἴη καλλίων, καὶ τὸν φάναι δασέαν, τὴν δ' εἰπεῖν „ταύτην μέντοι κοτὲ σὺ τὴν θρίδακα ἐμιμήσαο τὸν Κύρου οἶκον ἀποψιλώσας." τὸν δὲ

23. *ἔσχε* 'nahm zur Frau' (I 146 13. III 68 9. 88 13. V 92 *β* 6 u. s., 'erhielt' VIII 136 6). wie *ἔχειν* 'zur Frau haben' (c. 68 11). Od. *δ* 569 *οὔνεκ' ἔχεις Ἑλένην*. — *ἄλλην*, die Atossa, die nacheinander des Kambyses, des Pseudo-Smerdis und des Dareios Gemahlin ward (c. 68. 88. 133).

24. *δῆτα* wie c. 6 6.

32. *ἀμφὶ τῷ θανάτῳ*: zu I 140 14.

3. *συμβαλεῖν*, *commisisse*, näml. *μαχεσομένους*. Noch V 1 13.

12. Beide Weisen der Überlieferung setzen voraus daſs des Smerdis Tod kein Geheimnis war, und stehen in Widerspruch zu der weiteren Erzählung des Vf. (c. 61. 66. 71. 74). — *ἐκείνῳ*, dem Kambyses, falls er bedrängt würde; vgl. c. 65 24 ff.

14. *ὡς* läſst im Folgenden den Indikativ (*περιέτιλε*) erwarten; vgl. zu I 207 4.

15. *τραπέζῃ παρακατημένων*, sc. *Καμβύσεω καὶ τῶν δαιτυμόνων*. Die Hss. haben *περικατημένων*, was den Akkusativ (*τράπεζαν*) erfordern würde, s. I 103 13. III 14 22. V 126 8. VI 23 5. VIII 111 4. IX 75 3.

19. *μιμέεσθαι* hier wie bei Späteren oft 'nachbildend darstellen', wie lat. *imitari*, 'du hast ein Abbild dieses Lattichs hervorgebracht'. Vgl. c. 37 9 *μίμησις* 'Abbild'.

Digitized by Google

θυμωθέντα ἐμπηδῆσαι αὐτῇ ἐχούσῃ ἐν γαστρί, καί μιν ἐκτρώσασαν ἀποθανεῖν.

33 Ταῦτα μὲν ἐς τοὺς οἰκηίους ὁ Καμβύσης ἐξεμάνη, εἴτε δὴ διὰ τὸν Ἄπιν ⟨μανεὶς⟩ εἴτε καὶ ἄλλως, οἷα πολλὰ ἔωθε ἀνθρώπους κακὰ καταλαμβάνειν· καὶ γάρ τινά ἐκ γενετῆς νοῦσον μεγάλην λέγεται ἔχειν ὁ Καμβύσης, τὴν ἱρὴν ὀνομάζουσι τινές. οὔ νύν τοι ἀεικὲς οὐδὲν ἦν τοῦ σώματος νοῦσον μεγάλην νοσέοντος μηδὲ τὰς φρένας ὑγιαίνειν. τάδε δ' ἐς τοὺς ἄλλους Πέρσας ἐξεμάνη. **34** λέγεται γὰρ εἰπεῖν αὐτὸν πρὸς Πρηξάσπεα, τὸν ἐτίμα τε μάλιστα καὶ οἱ τὰς ἀγγελίας ἐφόρεε οὗτος, τούτου τε ὁ παῖς οἰνοχόος ἦν τῷ Καμβύσῃ, τιμὴ δὲ καὶ αὕτη οὐ σμικρή· εἰπεῖν δὲ λέγεται τάδε. „Πρήξασπες, ποτόν με τινὰ νομίζουσι Πέρσαι εἶναι ἄνδρα, τίνας τε λόγους

20. ἔχειν ἐν γαστρί 'schwanger sein', auch blofs ἔχειν (V 41 6).

33. ταῦτα ἐξεμάνη 'solche Raserei übte er' (c. 34 1. 37 2). Il. ε 185 οὐχ ὅ γ' ἄνευθε θεοῦ τάδε μαίνεται. Vgl. c. 126 ἄλλα τε ἐξύβρισε παντοῖα 'und verübte mannigfachen sonstigen Frevel', IX 107 τοιαῦτα στρατηγήσαντα 'durch so schlechte Heeresführung'.

2. ἄλλως = διὰ ἄλλο (κακόν). Vgl. I 187 8.

5 f. ἱρή (auch μεγάλη oder Ἡρακλείη) νοῦσος hiefs die Epilepsie und jede von krampfartigen und asthmatischen Zufällen begleitete Krankheit (Hippokrat περὶ ἀέρ. 3 σπασμούς τε καὶ ἄσθματα τὰ νομίζουσι ἱρὴν νοῦσον εἶναι, Arist. probl. 30 1 τὰ ἀρρωστήματα τῶν ἐπιληπτικῶν προσηγόρευον οἱ ἀρχαῖοι ἱερὰν νόσον), sei es weil man sie dem Zorne irgend einer beleidigten Gottheit zuschrieb, sei es weil der von ihr Besessene eine heilige Scheu einflöfste. Gegen diese volkstümliche Auffassung des Übels, die H. nur andeutungsweise ablehnt, spricht sich eine gleichzeitige Schrift des Hippokrates περὶ ἱρῆς νούσου mit wissenschaftlicher Strenge und Schärfe aus. — ἀεικές = ἀπρεπές Hesych., 'unwahrscheinlich, unnatürlich, auffallend' (VI 98 12), sonst = ἀπρεπές. Häufiger ist das positive οἰκός (ἐοικός) in dem entsprechenden Sinne. — H. zeigt sich hier weniger strenggläubig als sonst; aber er sah von seinem Standpunkte aus (s. Einl. S. XXXV) in dem Apis-stier kein θεῖον (s. c. 29 13), und fand darum in der That des Kambyses nichts tadelnswert als die Unduldsamkeit gegen fremde Sitte.

34. 2. λέγεται γάρ: die hiernach erzählte Unterhaltung zwischen Kambyses und Prexaspes erklärt die Veranlassung der Unthat, die selber erst c. 35 erzählt wird; daher die Partikel, die sonst nach herodotischem Gebrauche hinter τάδε nicht statthaben dürfte. Vgl. zu c. 31 4.

3. τὰς ἀγγελίας ἐφόρεε; vgl. I 114 9. III 77 6. Er hatte das Amt eines ἀγγελιηφόρος od. ἀσαγγελεύς (zu I 114 9). Vom Simplex ἐφόρεε zu c. 118 7. — Über den Übergang in demonstrative Fügung zu II 40 4.

5. δέ, nach der Einschaltung, wie VII 136 12.

Digitized by Google

στρατόν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι ἦν ἄν ἀνὴρ σοφός· νῦν δὲ οὐδένα λόγον ποιεύμενος ἤιε αἰεὶ ἐς τὸ πρόσω. οἱ δὲ στρατιῶται ἕως μέν τι εἶχον ἐκ τῆς γῆς λαμβάνειν, ποιηφαγέοντες διέζωον, ἐπεὶ δὲ ἐς τὴν ψάμμον ἀπίκοντο, δεινὸν ἔργον αὐτῶν τινες ἐργάσαντο· ἐκ δεκάδος γὰρ ἕνα σφέων αὐτῶν ἀποκληρώσαντες κατέφαγον. πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ' Αἰθιοπας στόλον ὀπίσω ἐπορεύετο, καὶ ἀπικνέεται ἐς Θήβας πολλοὺς ἀπολέσας τοῦ στρατοῦ· ἐκ Θηβέων δὲ καταβὰς ἐς Μέμφιν **26** τοὺς Ἕλληνας ἀπῆκε ἀποπλέειν. ὁ μὲν ἐπ' Αἰθιοπας στόλος οὕτω ἔπρηξε· οἱ δ' αὐτῶν ἐπ' Ἀμμωνίους ἀποσταλέντες στρατεύεσθαι, ἐπείτε ὁρμηθέντες ἐκ τῶν Θηβέων ἐπορεύοντο ἔχοντες ἀγωγούς, ἀπικόμενοι μὲν φανεροί εἰσι ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι

Wort, 'mit der eigenen Meinung, Absicht in Widerstreit sein', erkennen, dafs die bisherige Ansicht oder Haltung irrig oder thöricht war, sich besinnen, inne werden (τι), nachgeben. Also: 'hätte K. seinen Fehler eingesehen, sich eines bessern besonnen'. VII 130 *γνωσιμαχέοντες* 'weil sie inne wurden'. VIII 20 *γνωσιμαχέετε* 'kommt zu der (besseren) Einsicht, erkennt'. Aristoph. Vög. 555 *κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ μηδ' εὐθὺς γνωσιμαχήσῃ, Ἱερὸν πόλεμον προὐδᾶν αὐτῷ.* Eurip. Her. 706 (zu einem kampflustigen Greise) *χρὴ γνωσιμαχεῖν τὴν ἡλικίαν τὰ δ' ἀμήχαν' ἐᾶν.*

19. *ἐπί* zeitlich, 'nach' (I 170 11), was in diesem Zusammenhange in die Bedeutung 'trotz' übergeht.

22. *ἐς τὴν ψάμμον*, näml. *ἐς τὴν ψαμμώδεα ὀφρύην*, welche Libyen von Theben bis zu den Heraklessäulen quer durchzieht (II 32. IV 181). Die Stelle zeigt dafs H. die 'langlebenden' Äthiopen und die von Meroë sich nicht identisch dachte (vgl. zu c. 17 3). Denn der zu diesen von Ägypten aus führende Weg (s. II 29) blieb im Nilthal und liefs die *ψάμμος* rechts liegen. — Andere Nachrichten lassen die Perser nach Meroë ziehen und auch hingelangen. Strabon p. 790 *Καμβύσης τὴν Αἴγυπτον κατασχὼν προῆλθε καὶ μέχρι τῆς Μερόης μετὰ τῶν Αἰγυπτίων· καὶ δὴ καὶ τοὔνομα τῇ τε νήσῳ καὶ τῇ πόλει τοῦτο παρ' ἐκείνου τεθῆναι φασίν, ἐκεῖ τῆς ἀδελφῆς ἀποθανούσης αὐτῷ Μερόης.* Diodor I 33. Ioseph. Arch. II 10 2.

26. 2. *οὕτω ἔπρηξε* 'erfuhr solches Schicksal, lief so ab' (VII 18 11). — *αὐτῶν*, des persischen Heeres. Vgl. c. 25 15.

5 ff. *Ὄασιν πόλιν*: vgl. 8 *ὁ χῶρος οὗτος* und 16 *τῆς Ὀάσιος*. Stadt und Gegend waren gleichnamig. 'Das Wort *Ὄασις* ist ägyptischen Ursprungs. Es lautet in den Hieroglyphen *vach*, und bezeichnet zunächst nichts weiter als eine 'Anpflanzung', ein mit Pflanzenwuchs bedecktes Gefilde. Daher die koptische Benennung *vahe* und die arabische *uaḥ*, *waḥ*. Das Wort

Digitized by Google

12. *μέγα ποιεύμενος* verbindet sich mit *ταῦτα* als ein Ausdruck. V 28 *ταῦτα δὲ ἀκούσαντες οἱ Παίονες κάρτα ἀσπαστὸν ἐποιήσαντο.* Vgl. auch I 89 *Κύρῳ δὲ ἐπιμελὲς ἐγένετο τὰ Κροίσου εἶπε*, IX 90 *εὐπετές τε αὐτοῖσι ἔφη ταῦτα γίνεσθαι.* Umgekehrt *μεγάλα ποιέεσθαι* IX 111 18.

17. *ἐσῆλθε* 'kam ihm ein', *cogitatio subiit.* Mit dem Akk. noch VI 125 23. VII 46 7. VIII 137 15 (vgl. *ἐσιέναι* I 116 2), mit dem Dat. I 86 14. III 14 47 (vgl. *ἐσδύνειν* VI 138 17).

18. *θεῖον-πρῆγμα*: zu I 174 18.

20. *ἐπέθηκε* (sc. *τὸ βυβλίον*), erg. *ἀγγέλῳ διαπέμψαι* (*ἐς Αἴγυπτον*), wie Thuk. I 129 *ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ* (dem Artabazos als Besteller) *ὡς τάχιστα διαπέμψαι.* Harpokration v. *ἐπιθέτους ἑορτάς*: *λέγειν ἣν εἰθισμένον ἐπέθηκεν ἐπιστολὴν ἀντὶ τοῦ παρέδωκεν* (sc. *ἀγγέλῳ*). So Demosth. g. Phorm. 28 *οὐδὲ τὰς ἐπιστολὰς ἀπέδωκας αὐτοῖς ἃς ἡμεῖς ἐπεθήκαμεν.* Mit dem brachylogischen *ἐς*, nach Analogie von *ἐπέστειλε* (c. 40 4), noch V 95 *ταῦτα δὲ Ἀλκαῖος ἐν μέλεϊ ποιήσας ἐπιτιθεῖ ἐς Μυτιλήνην.*

43. 2. *ἐκκομίσαι* = *ἐκσῶσαι* vgl. c. 122 19. VIII 20 3. 32 9 Zu dem Gedanken vgl. I 91 *τὴν πεπρωμένην μοῖραν ἀδύνατα ἐστὶ ἀποφυγεῖν καὶ θεῷ* mit der Anm., unten c. 65 *ἐν τῇ γὰρ ἀνθρωπηίῃ φύσι οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτράπειν*, IX 16 *ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ.* Soph. Antig. 1337 *πεπρωμένης οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή.*

6 ff. *διαλύεσθαι*, Medium (IV 154 17). — Anders motiviert Diodor I 95 den Bruch: *Πολυκράτους δὲ τοῦ Σαμίων δυνάστου συντεθειμένου πρὸς αὐτὸν* (Amasis) *φιλίαν, καὶ βιαίως προσφερομένου τοῖς τε πολίταις καὶ τοῖς ἐς Σάμον καταπλέουσι ξένοις, τὸ μὲν πρῶτον λέγεται πρεσβευτὰς ἀποστείλαντα παρακαλεῖν αὐτὸν ἐπὶ τὴν μετριότητα· οὐ προσέχοντος δ' αὐτοῦ τοῖς λόγοις ἐπιστολὴν γράψαι*

Digitized by Google

ἔφη τὴν ξεινίην. τοῦδε δὲ εἵνεκεν ταῦτα ἐποίεε, ἵνα μὴ συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκράτεα καταλαβούσης αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ ξείνου ἀνδρός.

44 Ἐπὶ τοῦτον δὴ ὧν τὸν Πολυκράτεα εὐτυχέοντα τὰ πάντα ἐστρατεύοντο Λακεδαιμόνιοι, ἐπικαλεσαμένων τῶν μετὰ ταῦτα Κυδωνίην τὴν ἐν Κρήτῃ κτισάντων Σαμίων. . . . . Πολυκράτης δὲ πέμψας παρὰ Καμβύσεα τὸν Κύρου συλλέγοντα στρατὸν ἐπ' Αἴγυπτον, ἐδεήθη ὅκως ἂν καὶ παρ' ἑωυτὸν πέμψας ἐς Σάμον δέοιτο στρατοῦ. Καμβύσης δὲ ἀκούσας τούτων προθύμως ἔπεμψε ἐς Σάμον δεόμενος Πολυκράτεος στρατὸν ναυτικὸν ἅμα πέμψαι ἑωυτῷ ἐπ' Αἴγυπτον. ὁ δὲ ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπώπτευε μάλιστα ἐς ἐπανάστασιν ἀπέπεμπε τεσσεράκοντα τριήρεσι, ἐντειλάμενος Καμβύ-

τὴν φιλίαν καὶ τὴν ξενίαν τὴν πρὸς αὐτὸν διαλυόμενον. οὐ γὰρ βούλεσθαι λυπηθῆναι συντόμως ἑαυτόν, ἀκριβῶς εἰδότα ὅτι πλησίον ἐστὶν αὐτῷ τὸ κακῶς παθεῖν οὕτω προεστηκότι τῆς τυραννίδος.

Die flüchtigen Samier. Kriegszug der Lakedämonier gegen Samos (c. 44—47).

44. *Ἐπὶ τοῦτον δὴ ὧν*, Anknüpfung an die c. 39 begonnene Erzählung.

2f. *τῶν — Σαμίων*: der Weise des Vf., dem gröfsere Einschaltungen zwischen Artikel und Substantiv noch nicht geläufig sind, würde mehr entsprechen *ἐπικαλ. Σαμίων τῶν μετὰ ταῦτα — κτισάντων. — κτισάντων*, wie c. 49 5. Zur Sache vgl. c. 59.

4. Es fehlt die Angabe der Umstände, welche den Pol. zu seinem auffälligen Schritte bewogen. Aus Z. 10 u. c. 45 18 ff. ist zu entnehmen dafs es aufständische Bewegungen der samischen Bürgerschaft waren.

5. *ἐδεήθη ὅκως ἂν — δέοιτο*: zu I 8 19. II 126 8.

7. *ἀκούσας τούτων*: zu I 45 7.

10. *ἐς ἐπανάστασιν = μὴ ἐπαναστήσαιντο* od. *ἐπανάστασιν βουλεύσειν* (VIII 100 5). Es waren die grundbesitzenden Vollbürger, welche Polykrates des Regimentes beraubt hatte.

11. *τεσσεράκοντα*: Cobet findet die Zahl zu grofs und verlangt *τέσσερσι*. Aber damit konnten die Aufständischen keinen Seesieg gewinnen (8). Auch *τριήρεσι* ist nicht zu genau zu nehmen. Es waren Schiffe von eigentümlicher Bauweise (c. 59 10), keine eigentlichen Langschiffe, an Ruderzahl wahrscheinlich Pentekontoren, aus denen des Polykrates Seemacht hauptsächlich bestand (c. 39 13. 41 7. 124 8). Dreireiher (*τριήρεες*) waren damals noch wenig im Gebrauch. Thuk. I 14 von den Flotten (*ναυτικά*) des Polykrates und der Phokäer (vgl. Her. I 163 5) *τριήρεσι μὲν ὀλίγαις χρώμενα, πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα. ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Λαρείου θανάτου τριήρεις περί τε Σικελίαν τοῖς τυράννοις*

Digitized by Google

45 σῃ ὀπίσω τούτους μὴ ἀποπέμπειν. οἱ μὲν δὴ λέγουσι τοὺς ἀποπεμφθέντας Σαμίων ὑπὸ Πολυκράτεος οὐκ ἀπικέσθαι ἐς Αἴγυπτον, ἀλλ' ἐπείτε ἐγένοντο ἐν Καρπάθῳ πλέοντες, δοῦναι σφίσι λόγον, καί σφι ἁδεῖν τὸ προσωτέρω μηκέτι πλέειν· οἱ δὲ λέγουσι ἀπικομένους τε ἐς Αἴγυπτον καὶ φυλασσομένους ἐνθεῦτεν αὐτοὺς ἀποδρῆναι. καταπλέουσι δὲ ⟨ὧν⟩ ἐς τὴν Σάμον Πολυκράτης νηυσὶ ἀντιάσας ἐς μάχην κατέστη· νικήσαντες δὲ οἱ κατιόντες ἀπέβησαν ἐς τὴν νῆσον, πεζομαχήσαντες δὲ ἐν αὐτῇ ἐσσώθησαν, καὶ οὕτω δὴ ἔπλεον ἐς Λακεδαίμονα. εἰσὶ δὲ οἱ λέγουσι τοὺς ἀπ' Αἰγύπτου νικῆσαι Πολυκράτεα, λέγοντες ἐμοὶ δοκέειν οὐκ ὀρθῶς· οὐδὲν γὰρ ἔδει σφέας Λακεδαιμονίους ἐπικαλέεσθαι, εἴ περ αὐτοὶ ἦσαν ἱκανοὶ Πολυκράτεα παραστήσασθαι. πρὸς δὲ τούτοισι οὐδὲ λόγος αἱρέει, τῷ ἐπίκουροί τε μισθωτοὶ καὶ τοξόται οἰκήιοι ἦσαν πλήθεϊ πολλοί, τοῦτον ὑπὸ τῶν κατιόντων Σαμίων ἐόντων ὀλίγων ἐσσωθῆναι. τῶν δ' ὑπ' ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ὁ Πολυκράτης ἐς τοὺς νεωσοίκους συνειλήσας

ἐς πλῆθος ἐγένοντο καὶ Κερκυραίοις. Vgl. I 152 10. V 85 2.

45. 2. *τοὺς ἀποπεμφθέντας Σαμίων*: zu I 53 1.

3. *ἐν Καρπάθῳ* 'in die Nähe von K.'; vgl. II 163 7. V 33 4. IX 2 1 u. s. Die kleine Insel *Κάρπαθος*, j. *Scarpanto*, liegt inmitten der Meerenge zwischen Rhodos und Kreta, welche das ägäische Meer mit dem südöstlichen Becken des Mittelmeeres verbindet. Nach der Insel hiefs das umliegende Meer *Καρπάθιον πέλαγος*.

5. *τὸ προσωτέρω*, adverbial.

7 f. Verb. *καταπλέουσι* (sc. *αὐτοῖσι*) *ἐς μάχην κατέστη* (= *ἐμαχέσατο*); zu *ἀντιάσας* erg. *αὐτούς*. Kürzer VII 9 *α καί μοι — οὐδεὶς ἠντιώθη ἐς μάχην*.

11. *εἰσὶ δὲ οἱ λέγουσι*, wohl dieselben, welche annahmen, die Samier seien zwar nach Ägypten gekommen, aber von dort entflohen (5f.). — *ἀπ' Αἰγύπτου*, näml. *ἀποδράντας* (6).

14. *παραστήσασθαι* eig. 'auf seine Seite bringen' VIII 80 6, wie *παραστῆναι* 'übertreten' (VI 99 9); dann überhaupt 'unterwerfen, bezwingen, erobern, nötigen', *παραστῆναι* 'sich ergeben' (so hier u. c. 13 9. 155 13. IV 136 20. V 65 10. VI 140 10.

15. *λόγος αἱρέει*, *ratio suadet* (I 132 18).

16. Vgl. c. 39 13.

17. *ὀλίγων*, verhältnismäfsig. Nur die Epibaten der Schiffe kommen in Betracht, nicht die Schiffer. Auf eine Triere rechnete man 30 bis 50 Epibaten. Dafs die Zahl an sich nicht eben gering war, erhellt aus ihrem Auftreten in Siphaos und Kreta (c. 57 ff.)

19. Bekk. Anecd. p. 282 *νεώσοι-*

Digitized by Google

εἶχε ἑτοίμους, ἦν ἄρα προδιδῶσι οὗτοι πρὸς τοὺς κα- 20
τιόντας, ὑποπρῆσαι αὐτοῖσι τοῖσι νεωσοίκοισι.

Ἐπείτε δὲ οἱ ἐξελασθέντες Σαμίων ὑπὸ Πολυκράτεος 46
ἀπίκοντο ἐς τὴν Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρ-
χοντας ἔλεγον πολλά, οἷα κάρτα δεόμενοι. οἱ δέ σφι τῇ
πρώτῃ καταστάσι ὑπεκρίναντο τὰ μὲν πρῶτα λεχθέντα
ἐπιλελῆσθαι, τὰ δὲ ὕστατα οὐ συνιέναι. μετὰ δὲ ταῦτα 5
δεύτερα καταστάντες ἄλλο μὲν εἶπον οὐδέν, θύλακον
δὲ φέροντες ἔφασαν τὸν θύλακον ἀλφίτων δέεσθαι. οἱ

κοι, καταγώγια ἐπὶ τῆς θαλάττης ᾠκοδομημένα εἰς ὑποδοχὴν τῶν νεῶν, ὅτε μὴ θαλαττεύοιεν. Da in der Regel je einer dieser Lagerschuppen ein Schiff faſste, mochte Polykrates deren an 100 besitzen (vgl. c. 39 13).

20. προδιδόναι 'abfallen, übergehen' (V 113 4. VI 15 7). Vgl. zu VII 139 11.

46. 2f. καταστῆναι ἐπι- 'hintreten, auftreten vor', bes. von fremden Gesandten; vgl. I 152 6. III 156 8; auch bloſs στῆναι (VIII 79 5). Der Akt hieſs κατάστασις (unten 4. VIII 141 8. IX 9 3). Ähnlich ἐπέρχεσθαι (zu V 97 5), ἀπικνέεσθαι (VI 106 4. VII 172 7. IX 5 2). — τοὺς ἄρχοντας, die Ephoren, welche die auswärtigen Angelegenheiten leiteten und in der Regel die fremden Gesandten empfingen; s. besonders IX 7 ff. Doch stand ihnen diese Befugnis nicht allein zu; in vielen überlieferten Fällen reden die Gesandten vor der versammelten Gemeinde (τὸ κοινόν; s. I 152 5 und besonders Thuk. I 90). Es scheint daſs es von dem Ermessen der Ephoren abhing, ob sie über eine Sache unmittelbar und selbständig beschlieſsen oder die Gemeinde entscheiden lassen wollten. — οἷα = ἅτε.

4f. Plut. mor. p. 232 d Σαμίων πρεσβευταῖς μακρολογοῦσιν ἔφασαν οἱ Σπαρτιᾶται· τὰ μὲν πρῶτα ἐπιλελάθαμες, τὰ δὲ ὕστερα οὐ συνήκαμες διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι.

7f. Aus τὸν θύλακον ist nicht zu entnehmen daſs die Samier selber sagten: ὁ θύλακος ἀλφιτων δέεται. Sie konnten sich begnügen zu sagen: δέεται ἀλφίτων. Der Autor aber muſste das Subjekt hinzufügen, weil sonst das Prädikat δέεσθαι auf die Redenden selbst zu beziehen wäre. — Nachdem die Vertriebenen zuerst mit ionischer Redseligkeit (vgl. I 152) sich um die spartiatische Hilfe beworben, versuchen sie es nun auf entgegengesetztem Wege; sie hoffen den wortkargen Lakonen durch kürzeste und anschaulichste Erklärung ihres Verlangens zu gefallen. Aber die ernsten würdevollen Magistrate weisen dieses Benehmen als eine 'taktlose Aufdringlichkeit' (περιεργία, s. über diesen Begriff Theophrast. Char. 13) zurück: 'das mit dem Brotsack hätten sie besser unterlassen'. Die Samier hatten damit symbolisch andeuten wollen daſs sie der Hilfe bedürften, um in ihr Vaterland zurückzukehren. Und man verstand den Sinn recht wohl, denn man beschloſs ihnen zu 'helfen' (βοηθέειν) und führte sie mit Gewalt nach Samos zurück. Die Worte lassen sich auch deuten: 'Der Brotsack, d. h. seine Vorzeigung sei überflüssig gewesen', da ja die bloſsen Worte ἀλφίτων δεόμεθα ihr Verlangen genügend ausgedrückt haben würden.

Digitized by Google

δέ σφι ὑπεκρίναντο τῷ Θυλάκῳ περιεργάσθαι· βοηθέειν
47 δ' ὧν ἔδοξε αὐτοῖσι. καὶ ἔπειτα παρασκευασάμενοι
ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπὶ Σάμον, ὡς μὲν Σάμιοι
λέγουσι, εὐεργεσίας ἐκτίνοντες, ὅτι σφι πρότεροι αὐτοὶ
νηυσὶ ἐβοήθησαν ἐπὶ Μεσσηνίους· ὡς δὲ Λακεδαιμό-
5 νιοι λέγουσι, οὐκ οὕτω τιμωρῆσαι δεομένοισι Σαμίοισι
ἐστρατεύοντο ὡς τίσασθαι βουλόμενοι τοῦ ⟨τε⟩ κρητῆρος
τῆς ἁρπαγῆς, τὸν ἦγον Κροίσῳ, καὶ τοῦ Θώρηκος, τὸν
αὐτοῖσι Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς ἔπεμψε δῶρον. καὶ
γὰρ Θώρηκα ἐληίσαντο τῷ προτέρῳ ἔτεϊ ἢ τὸν κρητῆ-
10 ρα οἱ Σάμιοι, ἐόντα μὲν λίνεον καὶ ζώων ἐνυφασμένων
συχνῶν, κεκοσμημένον δὲ χρυσῷ καὶ εἰρίοισι ἀπὸ ξύλου·

Aber ohne den Brotsack verloren die Worte den symbolischen Sinn, und das gemessene spröde Wesen der Ephoren liefs eine so spitzfindige burleske Antwort nicht zu. Vollends aber pedantisch lächerlich würden dieselben erscheinen, wenn sie, nach anderen, in der Rede der Samier nichts anderes als den überflüssigen Subjektsbegriff *ὁ Θύλακος* rügten: '*satis erat ἀλφίτων δεῖται, inutile autem adicere ὁ Θύλακος, nam hunc videmus*'. — In jedem Falle pafste das Gleichnis weder auf die Lage noch auf das Anliegen der Bittenden. Die Anekdote war wohl irrtümlich in diese Geschichte verflochten worden. Den wirklichen Anlafs und wahren Sinn gibt die Erzählung bei Sextus Emp. adv. math. II 23 (über die *ἀφελὴς βραχυλογία* der Spartiaten): *ἐκ μέσων μέντοι γε καὶ τὸν Χίων πρεσβευτὴν περὶ ἐξαγωγῆς πυροῦ δεόμενον* (aus dem Atarneus? I 160. VI 28), *ἐπεὶ μακρῶς ἠρμήνευσε τὴν δέησιν, ἄπρακτον ἐξαπέστειλαν, ἑτέρου δὲ πεμφθέντος συντομωτέρου* (*ἤπειγε γὰρ ἀνάγκη τοὺς Χίους*) *ἔδοσαν· κενὸν γὰρ Θύλακον αὐτοῖς οὗτος ἀνατείνας ἀλφίτων αὐτὸν ἔφη δεῖσθαι. ὅμως δ' οὖν καὶ τοῦτον ὡς ἀδολέσχην ἐμέμψαντο· ἀποχρώντως γὰρ κενὸς δειχθεὶς ὁ Θύλακος ἐσήμηνε τὴν τῶν Χίων αἴτησιν.* Auch die Chier suchten Hilfe gegen Polykrates.

9. *δ' ὧν* 'doch aber' (c. 80 4). Sie konnten das Auftreten der Samier nicht billigen; aber ihnen zu helfen beschlossen sie doch.

47. 4f. *ἐπὶ Μεσσηνίους*, soll sich wohl auf den sg. 2. messenischen Krieg beziehen. — *δεομένοισι*, Rückweis auf c. 46 3.

6f. Konstr. *τίσασθαι τῆς τοῦ κρητῆρος ἁρπαγῆς*; vgl. zu I 2 15. Der Raub des Kessels ist I 70 erzählt. — *Θώρηκος*, näml. *ἁρπαγῆς*. — Plutarch mor. p. 859c erhebt gegen diese Darstellung den beachtenswerten Einwand, dafs nicht kleinliches Rachegefühl, vielmehr ihr auch sonst überall bewiesener Hafs gegen die Tyrannis und ihre grundsätzliche Begünstigung der Oligarchien die Spartiaten zum Kriege gegen Polykrates bewogen hätten; er übersieht aber dafs H. nur berichtet (*ὡς δὲ Λακ. λέγουσι*), nicht behauptet.

10. Über die koordinierten ungleichen Participien zu I 69 3.

11. *κεκοσμημένον — ξύλου*, mit goldenen und baumwollenen Einschlägen verziert. Das Gewebe bestand in der Kette aus feinstem Leinen (Pollux VII 76) und war mit

Digitized by Google

τῶν δὲ εἵνεκα θωμάσαι ἄξιον, ἁρπεδόνη ἑκάστη τοῦ θώρηκος [ποιέει] ἐοῦσα [γὰρ] λεπτὴ ἔχει ἁρπεδόνας ἐν ἑωυτῇ τριηκοσίας καὶ ἑξήκοντα, πάσας φανεράς. τοιοῦτος ἕτερος ἐστὶ καὶ τὸν ἐν Λίνδῳ ἀνέθηκε τῇ Ἀθηναίῃ Ἄμασις.

48 Συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ὥστε γενέσθαι καὶ Κορίνθιοι προθύμως· ὕβρισμα γὰρ καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρότερον τοῦ στρατεύματος τούτου, κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. Κερκυραίων γὰρ παῖδας τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέλου ἐς Σάρδις ἀπέπεμψε παρὰ Ἀλυάττεα

goldenen und baumwollenen Fäden durchwirkt, welche eben jene Ornamente (ζῷα) darstellten, also eine Art Byssos (vgl. zu II 86 25) mit Goldbrokat. Hesekiel 27 7 'Byssus mit Bundwirkerei aus Ägypten breitetest du dir aus zum Segel'. — *ἀπὸ ξύλου*: vgl. c. 106 11. VII 65 2. Plinius nat. hist. 19 14 *Superior pars Aegypti in Arabiam vergens gignit fruticem quem aliqui gossypion vocant, plures xylon et ideo lina inde* facta *xylina.*

12. *θωμάσαι ἄξιον* = *ἀξιοθέητον* (II 182 5). — *ἁρπεδόνη* eig. 'Strick', hier 'Schnur, Faden', und zwar zu der Kette, während der Einschlag aus goldenen und baumwollenen Fäden bestand. Pollux VII 31 *καὶ ἁρπεδόνας δὲ τὰ νήματα Ἡρόδοτος* (*ἔφη*). — Zur Satzfügung vgl. I 14 6. II 111 25.

14f. *τοιοῦτος ἕτερος*, *alter talis* (I 120 34). — *τὸν;* erg. *οὗτος τὸν;* vgl. I 14 6. — *ἐν Λίνδῳ*: s. II 182.

Feindschaft zwischen Samos und Korinth. Periandros und sein Sohn (c. 48—53).

48. *στρατεύματος* 'Heereszug' (zu I 6 11).

2. *ὥστε γενέσθαι*: vgl. V 105 4.

3ff. *εἶχε — γενόμενον* periphrastisch für *ἐγένετο*, um die fortdauernde Wirkung des *ὕβρισμα* auszudrücken. Vgl. zu I 27 19, VII 143 6. — *γενεῇ πρότερον*, um etwa dreifsig Jahre früher. Den Mischkessel, der um dieselbe Zeit geraubt sein soll, hatten die Lakedämonier dem Kroesos geschickt, als er sie infolge seiner zweiten Befragung des Orakels um Hilfe angegangen war (I 70), nach dem J. 556 v. Chr. (zu I 53 1). Ihr Zug gegen Polykrates erfolgte also um 525. Auf ungefähr dasselbe Jahr führt die Eroberung Ägyptens, an der sich Polykrates kurz vorher beteiligen wollte (c. 44). Aber mit dieser Bestimmung steht die weitere Angabe (6ff.), dafs jene Beleidigung zur Zeit des Periandros und Alyattes vorgefallen sei, von denen doch dieser 560 v. Chr. (zu I 25 2), jener noch viel früher gestorben war (zu c. 49 2. 53 32), in unlöslichem Widerspruche. (Plutarch mor. p. 860ª, der es auch hier, wie oben zu c. 47 6, rügt, dafs H. den Streit zwischen Samos und Korinth auf kleinliche unhaltbare Motive zurückführe, läfst zwischen Beleidigung und Rache drei *γενεαὶ* verfliefsen. Darum hat man hier *τρίτῃ γενεῇ πρότερον* lesen wollen, wodurch aber ein anderer Widerspruch erzeugt wird, indem dann die von H. behauptete Gleichzeitigkeit mit dem Kesselraube nicht bestehen kann.)

Digitized by Google

ἐπ᾽ ἐκτομῇ· προσσχόντων δὲ ἐς τὴν Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον, ἐπ᾽ οἷσι ἀγοίατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ ἅψασθαι Ἀρτέμιδος, μετὰ δὲ οὐ περιορῶντες ἀπέλκειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐργόντων ⟨τῶν⟩ Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὀρτήν, τῇ καὶ νῦν ἔτι χρέωνται κατὰ ταὐτά· νυκτὸς γὰρ ἐπιγενομένης, ὅσον χρόνον ἱκέτευον οἱ παῖδες, ἱστασαν χορούς παρθένων τε καὶ ἠιθέων, ἱστάντες δὲ τοὺς χορούς τρωκτὰ σησάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρπάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. ἐς τοῦτο δὲ τόδε ἐγίνετο, ἐς δ οἱ Κορίνθιοι τῶν παίδων οἱ φύλακοι οἴχοντο ἀπολιπόντες· **49** τοὺς δὲ παῖδας ἀπήγαγον ἐς Κέρκυραν οἱ Σάμιοι. εἰ μέν νυν Περιάνδρου τελευτήσαντος τοῖσι Κορινθίοισι φίλα ἦν

8. *ἐπ᾽ ἐκτομῇ*: zu VIII 105 7.

10. Der ganze Satz *ἐπ᾽ οἷσι — ἀγοίατο* ist Epexegese zu *τὸν λόγον*: vgl. V 19 11. VI 2 10. VII 157 7. VIII 59 3. 68α 5.

11. *Ἀρτέμιδος*: von der Lage ihres Tempels in der Nähe des Fl. *Ἴμβρασος* und des Vgb. *Χήσιον* südwestlich der Stadt hieſs sie *Ἰμβρασίη* und *Χησιάς* (Kallim. hymn. Dian. 228). Diogenes L. I 95 nennt an ihrer Stelle die Hera.

12f. *περιορῶντες — ἐργόντων*: vgl. c. 47 10.

16. Il. σ 593 *ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι Ὥρχεῦντ᾽, ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.*

17. *τρωκτά*, kleines Gebäck, mehr zum Naschen als zur Speise. Vgl. *τραγήματα*. Der bestimmte Name solcher Kuchen war nach dem Hauptbestandteile *σησαμόεντες* oder *σησαμίδες*. Athenaeos p. 646f *σησαμίδες ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα*. Samos stand nächst Attika seines Backwerks wegen in besonderem Rufe (Athenaeos 644c).

— *ἐποιήσαντο* als ginge voraus *ἱσταμένους*.

19. *ἐς τοῦτο — ἐς δ* ‘so lange bis’ (VII 181 4). — *τόδε*, Besserung einer Hss. für *οἱ*. Wahrscheinlicher *τοιοῦτο* (ohne *τι* wie I 197 5. IV 78 15, VII 23 12) oder *ἡ ὀρτή*.

20. *ἀπολιπόντες* intr. ‘sich entfernend’ (II 14 16).

21. Andere schrieben die Rettung den Knidiern zu. Plut. mor. p. 860b *Κερκυραῖοι Σαμίων μὲν ἐπὶ τούτῳ λόγον οὐ πολὺν ἔχουσι, Κνιδίων δὲ μέμνηνται, καὶ Κνιδίοις εἰσὶ τιμαὶ καὶ ἀτέλειαι καὶ ψηφίσματα παρ᾽ αὐτοῖς. οὗτοι γὰρ ἐπιπλεύσαντες ἐξήλασαν ἐκ τοῦ ἱεροῦ τοὺς Περιάνδρου φύλακας, αὐτοὶ δ᾽ ἀναλαβόντες τοὺς παῖδας εἰς Κέρκυραν διεκόμισαν, ὡς Ἀντήνωρ ἐν τοῖς Κρητικοῖς ἱστόρηκε καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν ταῖς κτίσεσιν.*

49. 2. *τελευτήσαντος*: er starb nach einer 40jährigen Regierung (Arist. Pol. V 12) 80 J. alt, Ol. 48 4=585/4 v. Chr. (Diog. L. I 95). Vgl. zu V 92ζ 2. — *φίλα*: VI 83 *τέως μὲν δή σφι ἦν ἁρμία ἐς ἀλλήλους.*

Digitized by Google

πρὸς τοὺς Κερκυραίους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ταύτης εἵνεκεν τῆς αἰτίης. νῦν δὲ αἰεὶ ἐπείτε ἔκτισαν τὴν νῆσον, εἰσὶ ἀλλήλοισι διάφοροι, ἐόντες ἑωυτοῖσι .... τούτων ὧν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι.

Ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ' ἐκτομῇ Περίανδρος τῶν πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας τιμωρεύμενος· πρότεροι γὰρ οἱ Κερκυραῖοι ἤρξαν ἐς αὐτὸν πρῆγμα ἀτάσθαλον ποιήσαντες. ἐπείτε γὰρ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν Περίανδρος ἀπέκτεινε, συμφορὴν τοιήνδε οἱ ἄλλην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. ἦσάν οἱ ἐκ Μελίσσης δύο παῖδες, ἡλικίην δ μὲν ἑπτακαίδεκα δ δὲ ὀκτωκαίδεκα ἔτεα γεγονώς. τούτους ὁ μητροπάτωρ Προκλέης ἐὼν Ἐπιδαύρου τύραννος μεταπεμψάμενος παρ'

5. *ἔκτισαν* besiedelt hatten; vgl. zu I 16 6. — Strabon p. 269 *πλέοντα δὲ τὸν Ἄρχιαν* (aus Korinth) *εἰς τὴν Σικελίαν* (wo er Syrakus gründete) *καταλιπεῖν μετὰ μέρους τῆς στρατιᾶς τοῦ τῶν Ἡρακλειδῶν γένους Χερσικράτη συνοικιοῦντα τῇ νῦν Κέρκυραν καλουμένῃ, πρότερον δὲ Σχερίαν. ἐκεῖνον μὲν οὖν ἐκβαλόντα Λιβυρνοὺς κατέχοντας οἰκίσαι τὴν νῆσον.* Die gleichzeitige Gründung von Syrakus setzt die Marmorchronik auf Ol. 5 4 = 757, die des Eusebios auf Ol. 11, 3 = 734 v. Chr.

6. Hinter *ἑωυτοῖσι* scheint *συγγενέες* oder *ὁμαίμονες* oder Ähnliches ausgefallen, 'sie sind von jeher in Zwiespalt mit einander, obgleich sie doch Stammgenossen sind'. Vgl. VI 52 *τούτους ἀνδρωθέντας ἀδελφεοὺς ἐόντας λέγουσι διαφόρους εἶναι τὸν πάντα χρόνον τῆς ζόης ἀλλήλοισι*, I 151 *Ἀρίσβαν ἡνδραπόδισαν Μηθυμναῖοι ἐόντας ὁμαίμους.* Möglich auch dafs die Lücke noch gröfser ist und Näheres über einen früheren Streit zwischen beiden Staaten enthielt. Die Worte *τούτων ὧν εἵνεκεν* scheinen darauf zu deuten. Vgl. Thuk. I 13 *ναυμαχίη παλαιτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων πρὸς Κερκυραίους· ἔτη δὲ μάλιστα ταύτῃ ἑξήκοντα καὶ διακόσια ἐστὶν μέχρι τοῦ αὐτοῦ χρόνου* (Anfang des pelop. Krieges). Von den Kerkyräern sagt der korinthische Redner bei Thuk. I 38 *ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους οὕτε ἐς ἡμᾶς τοιοίδε* (sc. *ἀγαθοί*) *εἰσίν, ἄποικοι δὲ ὄντες ἀφεστᾶσί τε διὰ παντὸς καὶ νῦν πολεμοῦσι.*

50. 2. Diog. L. I 94 (*Περίανδρος*) *γήμας Ἀνσιδίκην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους τοῦ Ἐπιδαυρίων τυράννου καὶ Ἐρισθενείας τῆς Ἀριστοκράτους παιδός, ἀδελφῆς δὲ τοῦ Ἀριστοδήμου θυγατέρα, οἱ σχεδὸν πάσης Ἀρκαδίας ἐπῆρξαν, .. παῖδας ἐξ αὐτῆς ἐποίησε δύο, Κύψελον καὶ Λυκόφρονα· τὸν μὲν νεώτερον συνετόν, τὸν δὲ πρεσβύτερον ἄφρονα. χρόνῳ δὴ ὑπὸ ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα ἔγκυον οὖσαν ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδων ἃς ὕστερον ἔκαυσε.*

7f. *ἡλικίην*, zur Zeit da die folgende Begebenheit vorfiel. — *ὁ δὲ*, Kypselos genannt, wie sein väterlicher Grofsvater (Diog. L. I 94).

Digitized by Google

ἑωυτὸν ἐφιλοφρονέετο, ὡς οἰκὸς ἦν θυγατρὸς ἐόντας τῆς ἑωυτοῦ παῖδας. ἐπείτε δὲ σφέας ἀπεπέμπετο, εἶπε προπέμπων αὐτούς „ἆρα ἴστε, ὦ παῖδες, ὃς ὑμέων τὴν μητέρα ἀπέκτεινε;“ τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ νεώτερος, τῷ οὔνομα ἦν Λυκόφρων, [ἠ]λγησε ἀκούσας οὕτω ὥστε ἀπικόμενος ἐς τὴν Κόρινθον ἅτε φονέα τῆς μητρὸς τὸν πατέρα οὔτε προσεῖπε, διαλεγομένῳ τε οὔτε προσδιελέγετο ἱστορέοντί τε λόγον οὐδένα ἐδίδου. τέλος δέ μιν περιθύμως **51** ἔχων ὁ Περίανδρος ἐξελαύνει ἐκ τῶν οἰκίων. ἐξελάσας δὲ τοῦτον ἱστόρεε τὸν πρεσβύτερον τά σφι ὁ μητροπάτωρ διελέχθη. ὃ δέ οἱ ἀπηγέετο ὡς σφέας φιλοφρόνως ἐδέξατο· ἐκείνου δὲ τοῦ ἔπεος τό σφι ὁ Προκλέης ἀποστέλλων εἶπε, ἅτε οὐ νόῳ λαβών, οὐκ ἐμέμνητο. Περίανδρος δὲ οὐδεμίαν μηχανὴν ἔφη εἶναι μὴ οὐ σφι ἐκεῖνον ὑποθέσθαι τι, ἐλιπάρεέ τε ἱστορέων· ὃ δὲ ἀναμνησθεὶς εἶπε καὶ τοῦτο. Περίανδρος δὲ νόῳ λαβὼν [καὶ τοῦτο] καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος οὐδέν, τῇ ὁ ἐξελασθεὶς ὑπ' αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς τούτους πέμπων ἄγγελον ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι. ὃ δὲ ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπηλαύνετ' ἂν καὶ ἀπὸ ταύτης, ἀπειλέοντός τε τοῦ Περιάνδρου τοῖσι δεξαμένοισι καὶ ἐξέργειν κελεύοντος· ἀπελαυνόμενος δ' ἂν ἤιε ἐπ' ἑτέρην τῶν ἑταίρων· οἱ δὲ ἅτε Περιάνδρου ἐόντα παῖδα καίπερ δειμαίνοντες ὅμως ἐδέκοντο.

10. *ἐφιλοφρονέετο* = *φιλοφρόνως ἐδέξατο* (c. 51 3).

12. *ὅς* st. *ὅστις*, wie c. 51 2 *τὰ* st. *ἅτινα*; zu I 56 5.

13. Ähnlich I 13 *τούτου τοῦ ἔπεος λόγον οὐδένα ἐποιεῦντο.*

17f. Von den beiden parallelen Satzteilen *οὔτε προσεῖπε, διαλεγομένῳ τε . .* zerlegt sich das Prädikat des letzteren wiederum in zwei entsprechende Glieder: *οὔτε προσ. διελέγετο ἱστορέοντι τε — ἐδίδου.* Ähnlich II 136 14. VIII 142 6. Häufiger ist solche doppelte Gliederung bei *τε καί*, wie I 119 16. II 115 3f. III 65 37. V 113 10 ff. VI 128 5. VII 119 9 ff.

51. 5. *οὐ νόῳ λαβών* = *οὐ συλλαβών, συνείς.* Er hatte Sinn und Absicht der Frage nicht verstanden. Ebenso Z. 8.

9f. *μαλακὸν ἐνδιδόναι οὐδέν* 'keine Schlaffheit, Nachgiebigkeit zeigen' (c. 105, 11). — *τῇ - ἐς τούτους*: vgl. IX 1 *ὅκου δὲ ἑκάστοτε γίνοιτο, τούτους παρελάμβανε.* Soph. Phil. 456 *ὅπου δ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει — τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.*

Digitized by Google

τέλος δὲ ὁ Περίανδρος κήρυγμα ἐποιήσατο, ὃς ἂν ἢ 52
οἰκίοισι ὑποδέξηταί μιν ἢ προσδιαλεχθῇ, ἰρὴν ζημίην
τοῦτον τῷ Ἀπόλλωνι ὀφείλειν, ὅσην δὴ εἶπας. πρὸς ὧν
δὴ τοῦτο τὸ κήρυγμα οὔτε τίς οἱ διαλέγεσθαι οὔτε οἰ-
κίοισι δέκεσθαι ἤθελε· πρὸς δὲ οὐδὲ αὐτὸς ἐκεῖνος ἐδι-
καίου πειρᾶσθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν
τῇσι στοιῇσι ἐκαλινδέετο. τετάρτῃ δὲ ἡμέρῃ ἰδών μιν ὁ
Περίανδρος ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα
οἰκτιρε· ὑπελς δὲ τῆς ὀργῆς ἤιε ἄσσον καὶ ἔλεγε „ὦ
παῖ, κότερα τούτων αἱρετώτερα ἐστί, ταῦτα τὰ νῦν ἔχων
πρήσσεις, ἢ τὴν τυραννίδα καὶ τὰ ἀγαθὰ τὰ νῦν ἐγὼ
ἔχω, ταῦτα ἐόντα τῷ πατρὶ ἐπιτήδεον παραλαμβάνειν;
ὃς ἐὼν ἐμός τε παῖς καὶ Κορίνθου τῆς εὐδαίμονος βα-
σιλεὺς ἀλήτην βίον εἵλευ, ἀντιστατέων τε καὶ ὀργῇ
χρεώμενος ἐς τόν σε ἥκιστα ἐχρῆν. εἰ γάρ τις συμφορὴ
ἐν αὐτοῖσι γέγονε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις, ἐμοί
τε αὖτη γέγονε καὶ ἐγὼ αὐτῆς τὸ πλεῦν μέτοχος εἰμί,

52. *κήρυγμα ἐποιήσατο ὃς ἂν κτλ.* erinnert an des Ödipus Bannspruch Soph. O. T. 236 *τὸν ἄνδρ' ἀπαυδῶ τοῦτον — μήτ' ἐνδέχεσθαι μήτε προσφωνεῖν τινα. — ἰρὴν ζημίην*: Strafgelder flossen entweder in die Staatskasse oder, wie hier, in den Tempelschatz einer Gottheit. Vgl. zu VII 132 9.

3 f. *ὅσην δὴ εἶπας* 'mit Angabe einer gewissen Summe'. Wieviel sie betrug, wufste der Vf. nicht oder hielt er für überflüssig mitzuteilen. Vgl: zu I 86 28. 157 5. — *πρός*, in Hinsicht auf, wegen'.

6. *ἀπειρημένου, rei vetitae.*

8. Die Plurale *ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι* vgl. mit den homerischen *ἀγηνορίῃσιν, ἀτασθαλίῃσιν, ἀφραδίῃσιν, κακορραφίῃσιν, ὑπεροπλίῃσιν* u. a. Bei H. noch *ἀλογίῃσι* (II 141 2), *ἀβουλίῃσι* (VIII 97 11), *ὀδοιπορίῃσι* (VIII 118 3). — *συμπεπτωκότα* 'zusammen-, eingefallen', abgemagert und erschöpft. Der Zustand heifst bei Hippokrates *σύμπτωσις.*

9. *ὑπελς τῆς ὀργῆς*, wie I 156 8.

10 f. Wie sonst *ταῦτα πρήσσειν = οὕτω πρήσσειν*, so hier *ταῦτα τὰ νῦν ἔχων πρήσσεις = οὕτω ὡς νῦν πρήσσεις* 'so wie es dir jetzt ergeht, deinen jetzigen Zustand.'

12. *ταῦτα*: zu c. 14 4. — *ἐόντα* sc. *σέ.* — *ἐπιτήδεος* 'willfährig'.

13. *τῆς εὐδαίμονος*: vgl. H. II. *β* 570 *ἀφνειόν τε Κόρινθον*, Pind. Ol. XIII 4 *τὰν ὀλβίαν Κόρινθον*, Thuk. I 13 *οἰκοῦντες γὰρ τὴν πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ ἰσθμοῦ ἀεὶ δή ποτε ἐμπόριον εἶχον .... χρήμασί τε δυνατοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς δεδήλωται· ἀφνειὸν γὰρ ἐπωνόμασαν τὸ χωρίον.*

16. *ἐν αὐτοῖσι* 'dabei' (I 9 2), womit, wie gleich mit *σφέα*, nur andeutend des Vorgefallenen, des Todes der Mutter (vgl. zu c. 50 2) gedacht wird. — *ὑποψίη* bezieht sich nicht nur auf gefürchtete Übel ('Argwohn'), sondern auch auf erlittene ('Groll'); so hier u. Thuk. I 42 *τῆς ὑπαρχούσης πρότερον διὰ Μεγαρέας ὑποψίας.*

Digitized by Google

δσῳ αὐτός σφεα ἐξεργασάμην. σὺ δὲ μαθὼν δσῳ φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτίρεσθαι, ἅμα τε ὁκοῖόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκία." Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἰρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης· ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον, καὶ εἶλε μὲν τὴν Ἐπίδαυρον, εἶλε δὲ αὐτὸν Προκλέα
53 καὶ ἐζώγρησε. ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος ὅ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων οὔ κως ἐνώρα ..., ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. ὁ δὲ Λυκόφρων οὐδὲ ἀνακρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα ἀπέστειλε ἐπ' αὐτὸν τὴν ἀδελφεήν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτῃ ἂν πείθεσθαι. ἀπι-

18 ff. *δσῳ*, als ginge *τοσούτῳ πλέον* voraus (II 61 7). — Zu der folgenden Sentenz vgl. Pind. Pyth. I 85 *κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος*. — *ὁκοῖόν τι*: vgl. VI 67 8.

22. *κατελάμβανε* 'suchte ihn zu beschwichtigen'. — *οὐδὲν ἀμείβεται τὸν πατέρα*: zu II 173 21.

25. Über das steigernde *τι* zu V 33 9.

30 f. *εἶλε — καὶ ἐζώγρησε* 'fing ihn und machte ihn zum Gefangenen, bekam ihn lebend in seine Gewalt' = *εἶλε ζωγρίῃ* (VI 37 5).

53. *τε*: vgl. zu c. 8 9.

2. *συνεγινώσκετο ἑωυτῷ* 'inne wurde' (I 45 18).

5. *τῷ πρεσβυτέρῳ*, dem Kypselos; zu c. 50 5.

6. *οὔ κως* = *οὐδαμῶς* (I 52 7. V 36 12). — *ἐνώρα* 'fand'. Das unentbehrliche und sonst bei diesem Verb nie fehlende Objekt ist ausgefallen, etwa *δυνατῷ ἐοομένῳ* sc. *τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν* oder *τι τοιοῦτο*; vgl. I 123 4. 170 9. V 36 12. VIII 140 *β* 5 f.). — *νωθέστερος, tardiore, hebetiore ingenio.* Auch folgte nicht dieser dem Vater in der Tyrannis, sondern Psammetichos, Gordios' Sohn und Periandros' Neffe (Arist. Pol. V 12).

7. *ἀνάκρισις* 'Einrede, Widerspruch'. Zu VII 69 7.

9. *δέ*: zu I 114 24.

Digitized by Google

κομένης δὲ ταύτης καὶ λεγούσης „ὦ παῖ, βούλεαι τήν τε τυραννίδα ἐς ἄλλους πεσεῖν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη κτῆμα σκαιόν. μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθεῖσι, πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι, δ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι.“ ἢ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· δ δὲ ὑποκρινάμενος

11. Der nach der Rede der Schwester (*λεγούσης*, .) erwartete, die Antwort des Jünglings enthaltende Nachsatz folgt unten 21 f., hat aber nicht die Form als solcher, weil der Vordersatz der langen Unterbrechung wegen unten 20 noch einmal, aber in selbständiger Weise wiederholt ist. — Die im Geiste des Vaters (vgl. 21) gehaltene Mahnrede besteht fast nur aus einer Reihe lose verknüpfter kurzer Gnomen, und ahmt darin die gedrungene Sprechweise des Zeitalters der sieben Weisen nach, zu deren Zahl Periander selbst gerechnet wurde.

12 f. *ἐς ἄλλους πεσεῖν* geh. auch zu *τὸν οἶκον*, 'in andere Hände geraten', wie *ἐς κακὸν πίπτειν*. Der farblosere Ausdruck wäre *περιιέναι* oder *περιέρχεσθαι* (zu I 7 2). — *οἶκον* 'Vermögen' (VII 224 14), schon bei Homer. — *διαφορηθέντα* = *διαρπασθέντα* (1 88 11).

14. *φιλοτιμίη*: die Schwester sieht in dem Benehmen des Bruders nur übertriebenes Selbstgefühl, das sich in dem eigensinnigen Beharren gegen den Vater gefällt und sich durch Nachgeben zu demütigen fürchtet.

15 f. *κακῷ*, nämlich *φιλοτιμίῃ*. Die Sentenz war sprichwörtlich; Äschyl. Fr. 339 N. *μὴ κακοῖς ἰῶ κακά*, Soph. Ai. 362 *μὴ κακὸν κακῷ δίδοὺς Ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει*, Fr. 75 *ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά*, Thuk. V 65 *διανοεῖται κακὸν κακῷ ἰᾶσθαι*. — *πολλοὶ* — *προτιθεῖσι*: also darfst auch du dich nicht scheuen so zu thun. — *τὸ ἐπιεικές* ist, in Gegensatz zum starren unbeugsamen *δίκαιον*, die Billigkeit, die den Umständen und Absichten Rechnung trägt und die zuweilen ungerechte Härte des abstrakten Rechtes mildert und ausgleicht. Arist. Eth. Nik. V 14 *τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δέ, ἀλλ' ἐπανόρθωμα (correctio) νομίμου δικαίου*, Rhet. I 13 *ἔστι δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον*. Deshalb verdient das *ἐπιεικές* vor dem *δίκαιον* den Vorzug (Eth. Nik. a. O.). Dieser Gedanke liegt auch in hiesiger Stelle: 'Viele geben dem, was billiger ist, den Vorzug vor dem, was Rechtens ist'. Billigkeit aber beansprucht die Tochter für den Vater, weil er nicht mit Vorbedacht die Mutter getödtet.— Der Genitiv *τῶν δικαίων* hat doppelten Bezug, sowohl zu *προτιθεῖσι* als zu *τὰ ἐπιεικέστερα*.

18. Eurip. Fr. 846 *ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται Δείνοις ἔρωσιν, ἧς φυλακτέον πέρι.* — *δ δέ*, der Vater. Vgl. c. 72 5.

Digitized by Google

δσῳ αὐτός σφεα ἐξεργασάμην. σὺ δὲ μαθὼν δσῳ φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτίρεσθαι, ἅμα τε ὀκοῖόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκία." Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε· δ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης· ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον, καὶ εἷλε μὲν τὴν Ἐπίδαυρον, εἷλε δὲ αὐτὸν Προκλέα **53** καὶ ἐζώγρησε. ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος δ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων οὔ κως ἐνώρα ..., ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. δ δὲ Λυκόφρων οὐδὲ ἀνακρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα ἀπέστειλε ἐπ' αὐτὸν τὴν ἀδελφεήν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτῃ ἂν πείθεσθαι. ἀπι-

18 ff. *δσῳ*, als ginge *τοσούτῳ πλέον* voraus (II 61 7). — Zu der folgenden Sentenz vgl. Pind. Pyth. I 85 *κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος*. — *ὀκοῖόν τι*: vgl. VI 67 8.

22. *κατελάμβανε* 'suchte ihn zu beschwichtigen'. — *οὐδὲν ἀμείβεται τὸν πατέρα*: zu II 173 21.

25. Über das steigernde *τι* zu V 33 9.

30 f. *εἷλε — καὶ ἐζώγρησε* 'fing ihn und machte ihn zum Gefangenen, bekam ihn lebend in seine Gewalt' = *εἷλε ζωγρίῃ* (VI 37 5).

53. *τε*: vgl. zu c. 8 9.

2. *συνεγινώσκετο ἑωυτῷ* 'inne wurde' (I 45 18).

5. *τῷ πρεσβυτέρῳ*, dem Kypselos; zu c. 50 5.

6. *οὔ κως* = *οὐδαμῶς* (I 52 7. V 36 12). — *ἐνώρα* 'fand'. Das unentbehrliche und sonst bei diesem Verb nie fehlende Objekt ist ausgefallen, etwa *δυνατῷ ἐσομένῳ* sc. *τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν* oder *τι τοιοῦτο*; vgl. I 123 4. 170 9. V 36 12. VIII 140 *β* 5 f.). — *νωθέστερος, tardiore, hebetiore ingenio*. Auch folgte nicht dieser dem Vater in der Tyrannis, sondern Psammetichos, Gordios' Sohn und Periandros' Neffe (Arist. Pol. V 12).

7. *ἀνάκρισις* 'Einrede, Widerspruch'. Zu VII 69 7.

9. *δέ*: zu I 114 24.

Digitized by Google

κομένης δὲ ταύτης καὶ λεγούσης „ὦ παῖ, βούλεαι τήν τε τυραννίδα ἐς ἄλλους πεσεῖν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη κτῆμα σκαιόν. μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν 15
δικαίων τὰ ἐπιεικέστερα προτιθεῖσι, πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι, δ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγα-
θὰ ἄλλοισι.“ ἢ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα 20
ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· ὁ δὲ ὑποκρινάμενος

11. Der nach der Rede der Schwester (*λεγούσης*, .) erwartete, die Antwort des Jünglings enthaltende Nachsatz folgt unten 21 f., hat aber nicht die Form als solcher, weil der Vordersatz der langen Unterbrechung wegen unten 20 noch einmal, aber in selbständiger Weise wiederholt ist. — Die im Geiste des Vaters (vgl. 21) gehaltene Mahnrede besteht fast nur aus einer Reihe lose verknüpfter kurzer Gnomen, und ahmt darin die gedrungene Sprechweise des Zeitalters der sieben Weisen nach, zu deren Zahl Periander selbst gerechnet wurde.

12 f. *ἐς ἄλλους πεσεῖν* geh. auch zu *τὸν οἶκον*, 'in andere Hände geraten', wie *ἐς κακὸν πίπτειν*. Der farblosere Ausdruck wäre *περιιέναι* oder *περιέρχεσθαι* (zu I 7 2). — *οἶκον* 'Vermögen' (VII 224 14), schon bei Homer. — *διαφορηθέντα* = *διαρπασθέντα* (1 88 11).

14. *φιλοτιμίη*: die Schwester sieht in dem Benehmen des Bruders nur übertriebenes Selbstgefühl, das sich in dem eigensinnigen Beharren gegen den Vater gefällt und sich durch Nachgeben zu demütigen fürchtet.

15 f. *κακῷ*, nämlich *φιλοτιμίῃ*. Die Sentenz war sprichwörtlich; Äschyl. Fr. 339 N. *μὴ κακοῖς ἰῶ κακά*, Soph. Ai. 362 *μὴ κακὸν κακῷ δίδουσ' Ἄκος πλέον τὸ πῆμα τῆς ἄτης τίθει*, Fr. 75 *ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά*, Thuk. V 65 *διανοεῖται κακὸν κακῷ ἰᾶσθαι*. — *πολλοὶ* — *προτιθεῖσι*: also darfst auch du dich nicht scheuen so zu thun. — *τὸ ἐπιεικές* ist, in Gegensatz zum starren unbeugsamen *δίκαιον*, die Billigkeit, die den Umständen und Absichten Rechnung trägt und die zuweilen ungerechte Härte des abstrakten Rechtes mildert und ausgleicht. Arist. Eth. Nik. V 14 *τὸ ἐπιεικὲς δίκαιον μέν ἐστιν, οὐ τὸ κατὰ νόμον δέ, ἀλλ' ἐπανόρθωμα (correctio) νομίμου δικαίου*, Rhet. I 13 *ἔστι δὲ ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον*. Deshalb verdient das *ἐπιεικές* vor dem *δίκαιον* den Vorzug (Eth. Nik. a. O.). Dieser Gedanke liegt auch in hiesiger Stelle: 'Viele geben dem, was billiger ist, den Vorzug vor dem, was Rechtens ist'. Billigkeit aber beansprucht die Tochter für den Vater, weil er nicht mit Vorbedacht die Mutter getödtet.— Der Genitiv *τῶν δικαίων* hat doppelten Bezug, sowohl zu *προτιθεῖσι* als zu *τὰ ἐπιεικέστερα*.

18. Eurip. Fr. 846 *ἡ γὰρ τυραννὶς πάντοθεν τοξεύεται Δείνοῖς ἔρωσιν, ἧς φυλακτέον πέρι.* — *δ δέ*, der Vater. Vgl. c. 72 5.

Digitized by Google

ἔφη οὐδαμὰ ἥξειν ἐς Κόρινθον, ἔστ' ἂν πυνθάνηται περιεόντα τὸν πατέρα. ἀπαγγειλάσης δὲ ταύτης ταῦτα, τὸ τρίτον Περίανδρος κήρυκα πέμπει βουλόμενος αὐτὸς μὲν ἐς Κέρκυραν ἥκειν, ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπικόμενον διάδοχον γίνεσθαι τῆς τυραννίδος. καταινέσαντος δὲ ἐπὶ τούτοισι τοῦ παιδός, ὁ μὲν Περίανδρος ἐστέλλετο ἐς τὴν Κέρκυραν, ὁ δὲ παῖς οἱ ἐς τὴν Κόρινθον. μαθόντες δὲ οἱ Κερκυραῖοι τούτων ἕκαστα, ἵνα μή σφι Περίανδρος ἐς τὴν χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνίσκον. ἀντὶ τούτων μὲν Περίανδρος Κερκυραίους ἐτιμωρέετο.

54 Λακεδαιμόνιοι δὲ στόλῳ μεγάλῳ ὡς ἀπίκοντο, ἐπολιόρκεον Σάμον· προσβαλόντες δὲ πρὸς τὸ τεῖχος τοῦ μὲν πρὸς θαλάσσῃ ἑστεῶτος πύργου κατὰ τὸ προάστειον τῆς πόλιος ἐπέβησαν, μετὰ δὲ αὐτοῦ βοηθήσαντος Πολυκράτεος χειρὶ πολλῇ ἀπηλάσθησαν. κατὰ δὲ τὸν ἐπάνω πύργον τὸν ἐπὶ τῆς ῥάχιος τοῦ ὄρεος ἐπεόντα ἐπεξ-

25. *ἐκεῖνον δὲ ἐκέλευε* 'jener aber solle'.

32. *ἐτιμωρέετο* 'wollte sich rächen', durch die Wegführung der dreihundert Edelknaben. Da Periander 585 v. Chr. hochbejahrt starb, wird sie um 590 anzusetzen sein.

54. Rückkehr zu der c. 47 begonnenen Erzählung vom Kriegszug der Lakedämonier gegen Samos (c. 54—56).

2 ff. Die Stadt lag, wie Strabon 637 und zahlreiche Trümmer noch jetzt bezeugen, in einer südostwärts streichenden 1500 m langen Küstenebene und an den Abhängen eines darüber bis zu 228 m aufsteigenden Bergzuges (h. Kastro). Die 411 v. Chr. wiederhergestellte Mauer mit über 30 Türmen (s. zu c. 39 19), über vier km lang, von der noch prachtvolle Reste erhalten sind, zieht sich auf dem nördlichen Rande des steilen Bergrückens entlang. Im NW. biegt sie südlich um und trifft auf der höchsten Stelle mit dem von der Ebene heraufkommenden Westarm zusammen. An der Ostseite zieht sie sich südlich hinab bis zum Anschluſs an die Umfassungsmauern des isoliert nach NO. vorgeschobenen kleinen Plateaus, das als besondere Feste an den Mauerring der Stadt angeschlossen war. Dieser heute Kastelli genannte Teil, die alte Akropolis (*Αστυπάλαια*, Polyaen. I 23), stand nach S. mit dem Meer durch eine steile Mauer in Verbindung. (Fabricius Mitteil. des d. archäol. Inst. in Athen IX. 167 f.). Nach SW. erstreckte sich das Meer entlang das offene *προάστειον* bis zum Fl. Imbrasos und der sumpfigen Niederung, wo der berühmte Hera-tempel stand (Strabon 637). — *κατὰ τὸ προάστειον* ist eben wie *πρὸς θαλάσσῃ* nähere Bestimmung zu *ἑστεῶτος*, daher ohne Artikel nachgestellt. — *τῆς πόλιος*, pleonastischer Zusatz zu *προάστειον*, wie I 110 *ὑπώρεαι τῶν ὀρέων*.

Digitized by Google

ἦλθον οἵ τε ἐπίκουροι καὶ αὐτῶν Σαμίων συχνοί, δεξάμενοι δὲ τοὺς Λακεδαιμονίους ἐπ' ὀλίγον χρόνον ἔφευγον ὀπίσω· οἱ δὲ ἐπισπόμενοι ἔκτεινον. εἰ μέν νυν οἱ **55** παρεόντες Λακεδαιμονίων ὅμοιοι ἐγένοντο ταύτην τὴν ἡμέρην Ἀρχίῃ τε καὶ Λυκώπῃ, αἱρέθη ἂν Σάμος· Ἀρχίης γὰρ καὶ Λυκώπης μοῦνοι συνεσπεσόντες φεύγουσι ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι καὶ ἀποκλησιφθέντες 5 τῆς ὀπίσω ὁδοῦ ἀπέθανον ἐν τῇ πόλι τῇ Σαμίων. τρίτῳ δὲ ἀπ' Ἀρχίεω τούτου γεγονότι ἄλλῳ Ἀρχίῃ τῷ Σαμίου τοῦ Ἀρχίεω αὐτὸς ἐν Πιτάνῃ συνεγενόμην (δήμου γὰρ τούτου ἦν), ὃς ξείνων πάντων μάλιστα ἐτίμα τε Σαμίους καὶ οἱ τῷ πατρὶ ἔφη Σάμιον τοὔνομα 10 τεθῆναι, ὅτι οἱ ὁ πατὴρ Ἀρχίης ἐν Σάμῳ ἀριστεύσας ἐτελεύτησε· τιμᾶν δὲ Σαμίους ἔφη, διότι ταφῆναί οἱ τὸν πάππον δημοσίῃ ὑπὸ Σαμίων. Λακεδαιμόνιοι δέ, **56** ὡς σφι τεσσεράκοντα ἐνεγεγόνεσαν ἡμέραι πολιορκέουσι Σάμον ἐς τὸ πρόσω τε οὐδὲν προεκόπτετο τῶν πρηγμάτων, ἀπαλλάσσοντο ἐς Πελοπόννησον. ὡς δὲ ὁ μα-

55. 8. *Πιτάνη*, auch *Πιτάναι*, ein selbständiges Quartier der Stadt Sparta. Vgl. zu IX 53 8.—H. nennt hier nach ionisch-attischem Gebrauche *δῆμος*, was man im Peloponnes *κώμα* 'Landgemeinde' nannte (Arist. Poet. 3.). Aus dem Komplex solcher fünf *κῶμαι* (auch *φυλαί* als politischer Abteilungen), nämlich *Πιτάνα*, *Λίμναι*, *Μεσόα*, *Κυνόσουρα* und *Δύμη* bestand die s. g. Stadt Sparta.

10. *Σαμίους*: als Samier konnte der Vf. selber gewissermafsen gelten und dem Archias empfohlen sein; vgl. Einl. S. IX.

12 f. *διότι ταφῆναι*: vom Infinitiv zu I 24 30. — Plut. mor. p. 860^{e} benutzt mit Recht diese Notiz, um seine oben zu c. 48 3 erwähnte Polemik gegen die Art, wie H. den spartiatischen Zug erklärt, zu unterstützen: *ὅτι δ' οὐ τιμωρούμενοι Σαμίους ἀλλ' ἐλευθεροῦντες ἀπὸ τοῦ τυράννου καὶ σώζοντες ἐστράτευσαν οἱ Λακεδαιμόνιοι, Σαμίοις αὐτοῖς ἐστι χρήσασθαι μάρτυσιν. Ἀρχίᾳ γὰρ ἀνδρὶ Σπαρτιάτῃ λαμπρῶς ἀγωνισαμένῳ τότε καὶ πεσόντι τάφον εἶναι δημοσίᾳ κατεσκευασμένον ἐν Σάμῳ καὶ τιμώμενον ὑπ' αὐτῶν λέγουσι· διὸ καὶ τοὺς ἀπογόνους τοῦ ἀνδρὸς ἀεὶ διατελεῖν Σαμίοις οἰκείως καὶ φιλανθρώπως προσφερομένους, ὡς αὐτὸς Ἡρόδοτος ταῦτα γοῦν ἀπομεμαρτύρηκεν.* Dabei versteht Plutarch richtig *ταφῆναι* = *τάφον αὐτῷ κατασκευασθῆναι*; vgl. V 8 4. VII 228 1. Die Errichtung des Grabdenkmals geschah natürlich erst später, wahrscheinlich nach den Perserkriegen, nachdem die Stadt frei geworden war.

56. 3. Vgl. zu I 190 12. III 154 7. Eurip. Hek. 960 *ἀλλὰ τσῦτα μὲν τί δεῖ Θρηνεῖν προκόπτοντ' οὐδὲν εἰς πρόσθεν κακῶν;*

4. *ὁ ματαιότερος*: der Komparativ auch VI 68 *οἱ δὲ καὶ τὸν μα-*

Digitized by Google

ταιότερος λόγος δρμηται, λέγεται Πολυκράτεα ἐπιχώριον νόμισμα κόψαντα πολλὸν μολύβδου καταχρυσώσαντα δοῦναί σφι, τοὺς δὲ δεξαμένους οὕτω δὴ ἀπαλλάσσεσθαι. ταύτην πρώτην στρατηίην ἐς τὴν Ἀσίην Λακεδαιμόνιοι Δωριέες ἐποιήσαντο.

57 Οἱ δ' ἐπὶ τὸν Πολυκράτεα στρατευσάμενοι Σαμίων, ἐπεὶ οἱ Λακεδαιμόνιοι αὐτοὺς ἀπολιπεῖν ἔμελλον, καὶ αὐτοὶ ἀπέπλεον ἐς Σίφνον. χρημάτων γὰρ ἐδέοντο, τὰ δὲ τῶν Σιφνίων πρήγματα ἤκμαζε τοῦτον τὸν χρόνον, καὶ νησιωτέων μάλιστα ἐπλούτεον, ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὕτω ὥστε ἀπὸ τῆς δεκάτης τῶν γενομένων αὐτόθεν χρημάτων θησαυρὸς ἐν Δελφοῖσι ἀνάκειται ὅμοια τοῖσι πλουσιωτάτοισι· αὐτοὶ δὲ τὰ γινόμενα τῷ ἐνιαυτῷ ἑκάστῳ

ταιότερον λόγον λέγοντες, nicht als wenn der andere *λόγος* auch *μάταιος* gewesen, sondern *ματαιότερος* steht = *ἧσσον ἐπιεικής* oder *πιθανός* (c. 9 7). — *δρμηται, exiit*, 'sich verbreitet hat'. VII 189 *ὡς φάτις δρμηται*. Sonst tritt noch *λέγεσθαι* hinzu (IV 16 1. VI 86δ 4), das vielleicht zu dem nach herod. Gebrauche (zu I 65 20) überflüssigen *λέγεται* verschrieben ist.

8. *πρώτην*: die zweite erfolgte 479 v. Chr. (IX 90 ff.).

9. *Λακεδαιμόνιοι Δωριέες*: das Appositum dient zur genaueren Bestimmung, 'Lakedämonier und zwar Dorier'; denn nichtdorische (achäische) Lak. waren schon im Troerkriege nach Asien gezogen. Beispiele dieses Gebrauchs zu I 72 8.

Brandschatzung der Siphnier und Ausgang der flüchtigen Samier. Staunenswerte Bauten auf Samos (c. 57—60).

57. 3. *ἐς Σίφνον* 'und zwar nach Siphnos'.

4 ff. Für den Metallreichtum der Insel zeugt auch dafs sie noch hundert Jahre später einen das Verhältnis ihrer Gröfse weit übersteigenden jährlichen Tribut an Athen zu zahlen hatte (Boeckh Staatsh. der Ath. II 618). — *νησιωτέων*, ohne Artikel; zu VII 95 1.

7 f. Pausan. X 11 2 *ἐποιήθη δὲ καὶ ὑπὸ Σιφνίων ἐπὶ αἰτίᾳ τοιᾷδε θησαυρὸς (ἐν Δελφοῖς). Σιφνίοις ἡ νῆσος χρυσοῦ μέταλλα ἤνεγκε, καὶ αὐτοὺς τῶν προσιόντων ἐκέλευσεν ὁ θεὸς ἀποφέρειν δεκάτην ἐς Δελφούς. οἱ δὲ τὸν θησαυρὸν ᾠκοδομήσαντο καὶ ἀπέφερον τὴν δεκάτην. ὡς δέ ὑπὸ ἀπληστίας ἐξέλιπον τὴν φοράν, ἐπικλύσασα ἡ θάλασσα ἀφανῆ τὰ μέταλλα σφίσιν ἐποίησεν.* — *ἀνακεῖσθαι* (= *ἀνατεθεῖσθαι*), sonst nur vom Inhalte des *θησαυρός*, der *ἀναθήματα*. Vgl. zu I 14 8. — Das adverbiale *ὅμοια* gehört zu *ἀνάκειται*, 'in gleicher d. i. in gleich kostbarer Weise'. S. zu c. 8 2.

9. *αὐτοί* soll wohl einen Gegensatz zu späteren Zeiten andeuten, da die allmählich erschöpften Werke nicht mehr unmittelbar von der Bürgerschaft betrieben und der Ertrag unter dieselbe repartirt, sondern, wie in Attika die laurischen Silbergruben (zu VII 144 4), an Erbpächter ausgethan und der Pacht-

Digitized by Google

χρήματα διενέμοντο. ὅτε ὧν ἐποιεῦντο τὸν θησαυρόν, ἐχρέωντο τῷ χρηστηρίῳ εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τε ἐστὶ πολλὸν χρόνον παραμένειν· ἡ δὲ Πυθίη ἔχρησέ σφι τάδε.

ἀλλ' ὅταν ἐν Σίφνῳ πρυτανήια λευκὰ γένηται
λεύκοφρύς τ' ἀγορή, τότε δὴ δεῖ φράδμονος ἀνδρὸς
φράσσασθαι ξύλινόν τε λόχον κήρυκά τ' ἐρυθρόν.

τοῖσι δὲ Σιφνίοισι ἦν τότε ἡ ἀγορὴ καὶ τὸ πρυτανήιον Παρίῳ λίθῳ ἡσκημένα. τοῦτον τὸν χρησμὸν οὐκ οἷοί 58
τε ἦσαν γνῶναι οὔτε τότε εὐθὺς οὔτε τῶν Σαμίων ἀπιγμένων. ἐπείτε γὰρ τάχιστα πρὸς τὴν Σίφνον προσῖσχον οἱ Σάμιοι, ἔπεμπον τῶν νεῶν μίαν πρέσβεας ἄγουσαν ἐς τὴν πόλιν. τὸ δὲ παλαιὸν ἅπασαι αἱ νέες ἦσαν μιλτηλιφέες, καὶ ἦν τοῦτο τὸ ἡ Πυθίη προηγόρευε τοῖσι Σιφνίοισι, φυλάξασθαι τὸν ξύλινον λόχον κελεύουσα καὶ κήρυκα ἐρυθρόν. ἀπικόμενοι ὧν οἱ ἄγγελοι ἐδέοντο τῶν Σιφνίων δέκα τάλαντά σφι χρῆσαι· οὐ φασκόντων δὲ χρήσειν τῶν Σιφνίων αὐτοῖσι, οἱ Σάμιοι τοὺς χώρους αὐτῶν ἐπόρθεον. πυθόμενοι δὲ εὐθὺς ἦκον οἱ Σίφνιοι βοηθέοντες καὶ συμβαλόντες αὐτοῖσι ἐσσώθησαν, καὶ αὐτῶν πολλοὶ ἀπεκληίσθησαν τοῦ ἄστεος

zins zunächst in die Gemeindekasse abgeführt wurde, um damit die gemeinsamen Ausgaben und den an Athen zu zahlenden Tribut zu bestreiten. Doch kann *αὐτοί* auch auf den Gegensatz gehen zwischen dem was die Bürger von dem Ertrage der Gruben dem Gotte zehnteten und dem was sie selber davon genossen.

12. *οἷά τε ἐστί*, sc. *per fata*; in dieser Bedeutung sonst nicht belegt. Vgl. zu I 29 9. III 28 7.

14. *ἀλλ'*: zu I 47 13.

15. *λεύκοφρυς*: 'mit weifsem Rande' geht auf die den Marktplatz umgebenden Säulenhallen (18).

16. *φράσσασθαι* hier zugleich = *φυλάξασθαι* (c. 58 7), 'bedenken, sich hüten'.

17 f. Die Worte *τοῖσι δὲ — ἡσκημένα* ergänzen den Inhalt des ersten Teiles des Spruches, der an sich nicht dunkel ist, durch die Angabe dafs es sich wirklich (betontes *ἦν*) so verhielt. Vgl. c. 64 15. — *τότε*, zur Zeit als sie das Orakel befragten. — *Παρίῳ λίθῳ ἡσκημένα*: das Prytaneion war aus parischem Marmor aufgeführt, die Agora mit Stoen und Skulpturen aus gleichem Steine umgeben und geschmückt. Vgl. zu II 130 4. — *τοῦτον τὸν χρησμόν*, die im Spruch enthaltene dunkle Warnung.

58. 6. *μιλτηλιφέες*, bei Homer *μιλτοπάρῃοι* (Il. *β* 637), *φοινικοπάρῃοι* (Od. *λ* 124). Aus Homer stammt auch die Notiz selber.

11. *χώρους*, *agros* (IV 125 10. IX 15 9).

Digitized by Google

ὑπὸ τῶν Σαμίων, καὶ αὐτοὺς μετὰ ταῦτα ἑκατὸν τά-
59 *λαντα ἔπρηξαν. παρὰ δὲ Ἑρμιονέων νῆσον ἀντὶ χρη-*
μάτων παρέλαβον Ὑδρέην τὴν ἐπὶ Πελοποννήσῳ καὶ
αὐτὴν Τροιζηνίοισι παρακατέθεντο· αὐτοὶ δὲ Κυδω-
νίην τὴν ἐν Κρήτῃ ἔκτισαν, οὐκ ἐπὶ τοῦτο πλέοντες
5 *ἀλλὰ Ζακυνθίους ἐξελῶντες ἐκ τῆς νήσου. ἔμειναν δ'*
ἐν ταύτῃ καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε, ὥστε τὰ
ἱρὰ τὰ ἐν Κυδωνίῃ ἐόντα νῦν οὗτοι εἰσὶ οἱ ποιήσαντες
[καὶ τὸν τῆς Δικτύνης νηόν]. ἕκτῳ δὲ ἔτεϊ Αἰγινῆται
αὐτοὺς ναυμαχίῃ νικήσαντες ἠνδραποδίσαντο μετὰ Κρη-
10 *τῶν, καὶ τῶν νεῶν καπρίους ἐχουσέων τὰς πρῴρας*

59. Vgl. I 165.

4. *ἔκτισαν*, wie c. 49 5. Die Stadt war eine der ältesten der Insel und vorhellenischen Ursprungs. Od. *γ* 291 *Κρήτῃ ἐπέλασσεν Ἴκι Κύδωνες ἔναιον Ἰαρδάνου ἀμφὶ ῥέεθρα.*

5. Von Zakynthiern auf Kreta berichtet sonst niemand; wahrscheinlich versuchten sie damals zuerst auf der Insel Fufs zu fassen. Die Dorier aber, zumeist die in Sparta, denen sie als Achäer verfeindet waren (vgl. VI 70. Thuk. II 67), mochten sich der heimatlosen Samier bedienen, um sie von der grofsenteils dorischen Insel zu vertreiben.

6. *ὥστε*, infolge ihres blühenden Wohlstandes (*εὐδαιμόνησαν*).

8. *καὶ τὸν τῆς Δικτύνης νηόν* ist ein sprachlich wie sachlich ungehöriger Zusatz. Der Dienst der *Δίκτυνα* (auch *Δίκτυννα*, so hiefs die im westlichen Teile Kretas verehrte der Artemis ähnliche Göttin, im östlichen hiefs sie *Βριτόμαρτις*) war nicht hellenisch und vollends den Samiern ganz fremd. Ihr Tempel stand auch nicht in oder bei der Stadt, sondern ziemlich entfernt davon auf dem Berge Tityros, im Gebiete von Polyrrhenia (Strab. p. 479). — *ἕκτῳ ἔτεϊ*, um 520 v. Chr.

9. *μετὰ Κρητῶν*, zunächst wohl der durch die Einwanderung beschädigten Kydonen. Der freundschaftliche Handelsverkehr der Ägineten mit Kreta war sprichwörtlich (*Κρὴς πρὸς Αἰγινήτην*). Nach der Vertreibung der Samier, die ihnen mit gefährlicher Konkurrenz drohten (vgl. IV 152), sandten sie selbst eine Kolonie nach Kydonia (Strab. p. 376).

10 f. *τὰς πρῴρας* gehört sowohl zu *ἐχουσέων* als zu *ἠκρωτηρίασαν*, eine bei H. nicht seltene Doppelbeziehung eines Wortes (s. zu I 137 4). Auffallend ist das Adjektiv *καπρίους*, statt dessen *καπροειδέας* stehen sollte. — *ἠκρωτηρίασαν*, spezielles an *πρῴρας* angepafstes Verbum. Vgl. I 103 4. Denn *ἀκρωτήριον* ist ungefähr = *πρῴρα*. Nämlich nach Hesychios s. v. *Σαμιακὸς τρόπος* waren die samischen Schiffe so gebaut, dafs sie, bei starker Ausbauchung, nach vorn in breit abgestumpfte, oben eingebogene Schnäbel (*ἔμβολοι*) ausliefen, also nach vorn ungefähr einem Schweine ähnelten. Daher im Verse des samischen Dichters Choerilos *νηῦς δέ τις ὠκύπορος Σαμίη συὸς εἶδος ἔχουσα.* Plut. Perikl. 26 *ἡ Σάμαινα ναῦς ὑόπρωρος μὲν τὸ σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροειδὴς ὥστε καὶ φορτοφορεῖν καὶ ταχυναυτεῖν. οὕτω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆ-*

Digitized by Google

ἠκρωτηρίασαν καὶ ἀνέθεσαν ἐς τὸ ἱρὸν τῆς Ἀθηναίης ἐν Αἰγίνῃ. ταῦτα δὲ ἐποίησαν ἔγκοτον ἔχοντες Σαμίοισι Αἰγινῆται· πρότεροι γὰρ Σάμιοι ἐπ' Ἀμφικράτεος βασιλεύοντος ἐν Σάμῳ στρατευσάμενοι ἐπ' Αἴγιναν μεγάλα κακὰ ἐποίησαν Αἰγινήτας καὶ ἔπαθον ὑπ' ἐκείνων. ἡ μὲν αἰτίη αὕτη. 15

Ἐμήκυνα δὲ περὶ Σαμίων μᾶλλον, ὅτι σφι τρία ἐστὶ **60** μέγιστα ἁπάντων Ἑλλήνων ἐξεργασμένα, ὄρεός τε ὑψηλοῦ ἐς πεντήκοντα καὶ ἑκατὸν ὀργυιάς, τούτου ὄρυγμα κάτωθεν ἀρξάμενον ἀμφίστομον. τὸ μὲν μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοι εἰσί, τὸ δὲ ὕψος καὶ εὖρος ὀκτὼ ἑκάτερον πόδες. 5

ναι, Πολυκράτους τυράννου κατασκευάσαντος.

12. *ἔγκοτος* 'Groll', nur bei H. als Substantiv in der Phrase *ἔγκοτον ἔχειν τινί* (VI 73 4. 133 5. VIII 29 1. IX 110 3). Vgl. *χόλον ἔχειν* oder *ἐνέχειν τινί* (I 118 3).

13 ff. Amphikrates scheint der Familie des Prokles angehört zu haben, der eine Kolonie von Epidauros nach Samos geführt hatte (s. zu I 146 9) und dessen Nachkommen im Besitze der Königswürde blieben. Als Agina von Epidauros abfiel und darüber ein Krieg entstand (V 83), mag sich der Proklide zu gunsten der Mutterstadt daran beteiligt haben.

60. 2. *ὄρεος*, an dem die Stadt lag (s. zu c. 54 2).

3. *τούτου*: zu II 108 4. — 150 Orgyien = c. 300 m, also zu viel.

6. ff. Die grofse Anlage, zur Wasserversorgung der ganzen Stadt bestimmt und noch jetzt soweit erhalten, dafs ihre Herstellung zum Besten des um den alten Hafen aufblühenden Ortes Tigani im Werke ist, besteht aus vier Teilen, von denen H. nur den Tunnel und die Röhrenleitung in demselben hervorhebt. 1. Das Quellhaus, 400 m nordwestlich der Berges Kastro, jenseit einer tiefen Schlucht, empfängt das Wasser aus einer starken Quelle, die westlich der Stadt zum Meer abfliefst. 10 m unterhalb desselben beginnt 2. die obere Leitung, ein für einen Mann gangbarer Felsstollen, welcher das Wasser zu dem Nordfufse des Kastro hinüberführt, erst südlich hinab, dann an der Schlucht ostwärts entlang, darauf unter der Sohle derselben hindurch wieder westwärts bis zum Eingang des Tunnels, 3—15 m unter der Oberfläche, über 850 m lang. 3. Der Bergtunnel, aufser den eingebauten Mündungsgängen, mit Meifsel oder Spitzhammer durch den Kalkfelsen gebrochen, teilweise innenwärts ausgemauert, ist durchschnittlich 1,75 m hoch und breit, aber am südl. Ausgange 2,30 hoch und 2,15 breit (etwas weniger als *ὀκτὼ πόδες*), fast geradlinig in nordwestnördlicher Richtung, über 1000 m lang (nicht *ἑπτὰ στάδιοι*, = c. 1300 m), anscheinend in ebenem Niveau ohne Gefälle. Deutliche Spuren zeigen dafs er zugleich von N. und S. in Angriff genommen war, wobei die Enden der beiden Stollen, um 5—10 m in der Richtung und 2—3 m an Höhenlage divergent, durch nachträgliche Ausgleichung verbunden werden mufsten. Die nördliche der beiden Mündungen (*ἀμφίστομον*) blieb wahrscheinlich, zur Sicherung gegen belagernde Feinde, dauernd verdeckt. Die eigentliche Wasserleitung bildete im Nordteile des

Digitized by Google

διὰ παντὸς δὲ αὐτοῦ ἄλλο ὄρυγμα εἰκοσίπηχυ βάθος ὀρώρυκται, τρίπουν δὲ τὸ εὖρος, δι' οὗ τὸ ὕδωρ ὀχετευόμενον διὰ τῶν σωλήνων παραγίνεται ἐς τὴν πόλιν ἀγόμενον ἀπὸ μεγάλης πηγῆς. ἀρχιτέκτων δὲ τοῦ ὀρύγματος τούτου ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος Ναυστρόφου. τοῦτο μὲν δὴ ἓν τῶν τριῶν ἐστι, δεύτερον δὲ περὶ λιμένα χῶμα ἐν θαλάσσῃ, βάθος καὶ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ χώματος μέζον δύο σταδίων. τρίτον δέ σφι ἐξέργασται νηὸς μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρ-

Tunnels, als Fortsetzung der einmündenden oberen Leitung, ein zweiter unter dem Haupttunnel angelegter tunnelartiger Gang, im Südteil ein tiefer steilwandiger, teilweise überdeckter Graben von 0,60 m Breite (= 2 F., also nicht *τρίπουν*), so dafs oben ein Weg von über 1 m frei bleibt, und von einer Tiefe, die von 2,53 im Innern bis 8,30 m (nicht *εἰκοσίπηχυ* = c. 10 m) an der Mündung unter die Tunnelsohle fällt. Dieser Graben verläfst 30 m vor der Mündung den Tunnel und geht 4. in die diesseitige Leitung über, die, ebenso wie die jenseitige ein mannshoher schmaler Felsengang, ostwärts unter dem Abhang des Berges der Stadt entlang, vermutlich bis zum Hafen, lief, und die weiteren Kanäle südwärts aussendete. In der oberen Leitung lief das Wasser in Thonröhren, in der unteren in offenen viereckigen Thonrinnen. Das Werk ist bis in die christliche Zeit in Benutzung gewesen, in römischer Zeit aber durch eine offene Leitung aus dem Fl. Imbrasos ergänzt worden. Den auffälligen doppelten Tunnelbau erklärt man wohl mit Recht aus der fehlerhaft angelegten Richthöhe des grofsen Tunnels, die kein Gefälle ergab, wodurch der Baumeister sich genötigt gesehen die tiefen Rinnen daneben auszuheben. (Nach Fabricius, Mitteil. des d. archäol. Inst. in Athen IX 163 ff.)

8. *διὰ τῶν σωλήνων* gehört zu *παραγίνεται — ἀγόμενον*. Der Artikel, weil Leitungsröhren bei jeder Wasserleitung sich von selbst verstehen.

11 f. *χῶμα* 'Mole'. Gemeint ist die gröfsere südostwärts laufende. Beide sind seit 1862 auf dem alten Unterbau hergestellt, die gröfsere 270 m lang.

12. *καὶ εἴκοσι* 'wohl zwanzig' (II 44 17). — Heute beträgt die Tiefe an der Molenspitze sogar über 200 Fufs.

14 f. *νηός*: der Hera als der Hauptgottheit der Insel, 5 km von der Stadt, in der sumpfigen Niederung südwestlich derselben am Flusse Imbrasos, nicht weit vom Meere (Strabon 636). Seine erste Anlage knüpfte die Sage an die Argonautenfahrt (Pausan. VII 4 4). Den Grund zu dem später so berühmt gewordenen Heraeon legte der Samier Rhoekos (zu I 51 11); andere nicht genannte Künstler, wahrscheinlich aus des Rhoekos Schule, setzten den Bau fort, der unter Polykrates beendet zu sein scheint. Ist eine Nachricht des Pausanias begründet (VII 5 4 *δύο δὲ ἄλλας ἐν Ἰωνίᾳ ναοὺς ἐπέλαβεν ὑπὸ Περσῶν κατακαυθῆναι τόν τε ἐν Σάμῳ τῆς Ἥρας καὶ ἐν Φωκαίᾳ τῆς Ἀθηνᾶς· θαῦμα δὲ ὅμως ἦσαν καὶ ὑπὸ τοῦ πυρὸς λελυμασμένοι*), so kann ihn H. nicht mehr in ursprünglicher Form gesehen haben. Vgl. II 148 9. IV 88 7. Nach neueren Unter-

Digitized by Google

χιτέκτων πρῶτος ἐγένετο Ῥοῖκος Φιλέω ⟨ἀνὴρ⟩ ἐπιχώριος. 15
τούτων εἵνεκεν μᾶλλόν τι περὶ Σαμίων ἐμήκυνα.

Καμβύσῃ δὲ τῷ Κύρου χρονίζοντι περὶ Αἴγυπτον **61**
καὶ παραφρονήσαντι ἐπανιστέαται ἄνδρες Μάγοι δύο
ἀδελφεοί, τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκίων με-
λεδωνὸν ὁ Καμβύσης. οὗτος δὴ ὧν οἱ ἐπανέστη μαθών
τε τὸν Σμέρδιος θάνατον ὡς κρύπτοιτο γενόμενος, καὶ 5
ὡς ὀλίγοι εἴησαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δὲ
πολλοὶ περιεόντα μιν εἰδείησαν. πρὸς ταῦτα βουλεύσας
τάδε ἐπεχείρησε τοῖσι βασιληίοισι. ἦν οἱ ἀδελφεός, τὸν
εἶπά οἱ συνεπαναστῆναι, οἰκὼς μάλιστα τὸ εἶδος
Σμέρδι τῷ Κύρου, τὸν ὁ Καμβύσης ἐόντα ἑωυτοῦ 10

suchungen der Reste (Humann, Fabricius u. a.) war der Tempel ein Dipteros, im Säulenboden 56 m breit, 120—130 m lang, mit 8 Säulen in der Front. — *μέγιστος πάντων νηῶν*: das noch grōfsere ephesische Artemision, mit dem das Heraeon II 148 zusammengestellt ist, wird damals noch nicht wie jenes vollendet gewesen sein (*ἐξέργασται*).

Der falsche Smerdis. Kambyses Tod (c. 61-66).

61. Vom Aufstande des Magers erzählen auch Ktesias Exc. Pers. 10 ff und Justinus I 9, beide von H. mehr oder weniger abweichend; am urkundlichsten Kōnig Dareios selbst in der Behistân-Inschrift Col. I Z. 10 f. (vgl. zu c. 30 4): 'Als Kambujiya den Bardiya getōtet hatte, da hatte das Heer keine Kunde dafs Bardiya getōtet worden, dafs B. tot war. Darauf ging K. nach Ägypten. Als K. nach Ägypten gezogen war, da wurde das Heer aufrūhrerisch; darauf nahm die Lūge zu in den Provinzen, sowohl in Persien als in Medien als auch in den übrigen Provinzen. Da war ein Mann, ein Mager, *Gaumâta* mit Namen; von Pisiyâuvâda lehnte er sich auf; ein Berg Arakadris mit Namen, von da aus. Im Monate Viyakhna am 14. Tage, da war es als er sich auflehnte. So log er die Leute an: ich bin Bardiya, Sohn des Kuru, Bruder des Kambujiya. Darauf wurde das ganze Reich aufrührerisch gegen K.; es trat zu jenem über sowohl Persien als Medien als auch die übrigen Provinzen. Er ergriff die Herrschaft. Im Monate Garmapada am 9. Tage, da war es, da ergriff er die Herrschaft. Darauf starb K., indem er sich selbst tōtete.' Diesem Berichte steht der des H. am nächsten, der des Ktesias am fernsten, aufser dafs dieser wie die Inschrift nur von einem Mager weifs. Dem Namen *Gaumâta* kommt der *Cometes* des Justin sehr nahe. Die allen drei Autoren gemeinschaftliche Fabel von der grofsen Ähnlichkeit des Magers und des Smerdis entstand, um den Betrug zu erklären. Der Fall, dafs aufständische Kōnige sich durch populäre Namen zu legitimieren suchten, war auch sonst nicht selten (vgl. zu I 130 7. III 151 2).

5. *κρύπτοιτο γενόμενος*, nach Analogie von *ἔλαθε γενόμενος*.

7. *εἰδείησαν* hier 'glaubten'; ōfter *ἐπίστασθαι* in diesem Sinne (I 3 4).

8. *βασιλήια* hier u. I 178 5. III 65 23. in übertragenem Sinne = *βασιληίη*. Vgl. *σκῆπτρα* VII 52 13.

Digitized by Google

ἀδελφεὸν ἀπέκτεινε· ἦν τε δὴ ὅμοιος ⟨τὸ⟩ εἶδος τῷ Σμέρδι καὶ δὴ καὶ οὔνομα τὠυτὸ εἶχε Σμέρδιν. τοῦτον τὸν ἄνδρα ἀναγνώσας ὁ Μάγος Πατιζείθης ὡς οἱ αὐτὸς πάντα διαπρήξει, εἷσε ἄγων ἐς τὸν βασιλήιον θρόνον. ποιήσας δὲ τοῦτο κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ ἐς Αἴγυπτον προερέοντα τῷ στρατῷ ὡς Σμέρδιος τοῦ Κύρου ἀκουστέα εἴη τοῦ λοιποῦ ἀλλ᾽ οὐ Καμβύσεω. **62** οἵ τε δὴ ὦν ἄλλοι κήρυκες προηγόρευον ταῦτα καὶ δὴ καὶ ὁ ἐπ᾽ Αἴγυπτον ταχθείς, εὗρισκε γὰρ Καμβύσεα καὶ τὸν στρατὸν ἐόντα τῆς Συρίης ἐν Ἀγβατάνοισι, προηγόρευε στὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τοῦ Μάγου. Καμβύσης δὲ ἀκούσας ταῦτα ἐκ τοῦ κήρυκος καὶ ἐλπίσας μιν λέγειν ἀληθέα αὐτός τε προδεδόσθαι ἐκ Πρηξάσπεος (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα Σμέρδιν οὐ ποιῆσαι ταῦτα), βλέψας ἐς τὸν Πρηξάσπεα εἶπε „Πρήξασπες, οὕτω μοι διεπρήξαο τό τοι προσέθηκα πρῆγμα;“ ὁ δὲ εἶπε „ὦ δέσποτα, οὐκ ἔστι ταῦτα ἀληθέα, ὅκως κοτὲ σοὶ Σμέρδις ἀδελφεὸς σὸς ἐπανέστηκε, οὐδὲ ὅκως τι ἐξ ἐκείνου τοῦ ἀνδρὸς νεῖκός τοι ἔσται ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτός, ποιήσας τὰ σύ με ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι ἐμεωυτοῦ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστᾶσι, προσδέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι· εἰ δ᾽ ἔστι ὥσπερ πρὸ τοῦ, οὐ μή τί τοι ἔκ γε ἐκείνου νεώτερον [κακὸν] ἀναβλάστῃ.

12. *Σμέρδιν*, wiederholt wie VI 103 15.

13. *Πατιζείθης*; dazu ein Scholion *Διονύσιος ὁ Μιλήσιος Πανξούθην ὀνομάζεσθαι τοῦτον λέγει.* Auffällig dafs der Name erst hier genannt wird.

14. *εἷσε ἄγων*: Od. *α* 130 *αὐτὴν δ᾽ ἐς θρόνον εἷσεν ἄγων.*

15. *τῇ τε ἄλλῃ*: zu I 1 11.

17. *ἀκουστέα*: der Plural wie VII 185 *τό — στράτευμα ἔτι προσλογιστέα.* Zu I 4 8.

62. 3. *τῆς Συρίης ἐν Ἀγβατάνοισι*: zu c. 64 19.

6. *ἐλπίσας*, *arbitratus*. — *ἐκ* = *ὑπό*.

9. *διεπρήξαο*: oben c. 61 14 das Aktiv; zu I 164 17.

11. *ὅκως*: zu II 49 17. — *ἀδελφεὸς σός*: zu c. 36 8.

12. *νεῖκος* poet. ‘Kampf, Krieg’ (VI 42 2. VII 158 6. 225 8). — *ἢ μέγα ἢ σμικρόν*, irgend welcher Art = *ὁκόσον ὤν*. Noch V 106 13. Od. *κ* 93 *οὐ μὲν γάρ ποτ᾽ ἀέξετο κῦμα γ᾽ ἐν αὐτῷ Οὔτε μεγ᾽ οὔτ᾽ ὀλίγον.*

17. *νεώτερον* euphemistisch = *κακόν*, *λυπηρόν* (V 106 14); so I 210 10. V 19 9. 93 11. 106 5 u. 21. VI 2 8. VII 52 10. VIII 21 8. 142 3.

Digitized by Google

νῦν ὧν μοι δοκέει μεταδιώξαντας τὸν κήρυκα ἐξετάζειν εἰρωτεῦντας παρ' ὅτευ ἥκων προαγορεύει ἡμῖν Σμέρδιος βασιλέος ἀκούειν." ταῦτα εἶπαντος Πρηξάσπεος, ἥρεσε γὰρ Καμβύσῃ, αὐτίκα μεταδίωκτος γενόμενος ὁ κῆρυξ ἦκε· ἀπιγμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης τάδε. „ὦνθρωπε, φῆς γὰρ ἥκειν παρὰ Σμέρδιος τοῦ Κύρου ἄγγελος· νῦν ὧν εἶπας τὴν ἀληθείην ὄπιθι χαίρων, κότερα αὐτός τοι Σμέρδις φαινόμενος ἐς ὄψιν ἐνετέλλετο ταῦτα ἢ τῶν τις ἐκείνου ὑπηρετέων;" ὁ δὲ εἶπε „ἐγὼ Σμέρδιν μὲν τὸν Κύρου, ἐξ ὅτευ βασιλεὺς Καμβύσης ἤλασε ἐς Αἴγυπτον, οὔκω ὄπωπα· ὁ δέ μοι Μάγος, τὸν Καμβύσης ἐπίτροπον τῶν οἰκίων ἀπέδεξε, οὗτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν Κύρου εἶναι τὸν ταῦτα ἐπιθέμενον εἶπαι πρὸς ὑμέας." ὁ μὲν δή σφι ἔλεγε οὐδὲν ἐπικατεψευσμένος, Καμβύσης δὲ εἶπε „Πρήξασπες, σὺ μὲν οἷα ἀνὴρ ἀγαθὸς ποιήσας τὸ κελευόμενον αἰτίην ἐκπέφευγας· ἐμοὶ δὲ τίς ἂν εἴη ἀνὴρ Περσέων ὁ ἐπανεστεώς, ἐπιβατεύων τοῦ Σμέρδιος οὐνόματος;" ὁ δὲ εἶπε „ἐγώ μοι δοκέω συνιέναι τὸ γεγονὸς τοῦτο, ὦ βασιλεῦ· οἱ Μάγοι εἰσί τοι οἱ ἐπανεστεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν οἰκίων, Πατιζείθης, καὶ ὁ τούτου ἀδελφεὸς Σμέρδις." ἐνθαῦτα ἀκούσαντα Καμβύσεα τὸ Σμέρδιος οὔνομα ἔτυψε ἡ ἀληθείη τῶν

— *ἀναβλάστῃ* poetisch, ebenso V 92 *δ* 2; dafür V 106 14 in derselben Verbindung *ἀνασχήσει*.

18. *νῦν ὧν*: zu I 30 13.

63. 2. *γάρ*: zu I 8 4. — Von dem periphrastischen *μεταδίωκτος γενόμενος* zu III 1 8. V 63 5.

4. *γάρ* 'da' (I 8 10).

14. *οἷα* 'als' (VI 12 22). Vgl. *ἅτε* I 123 19.

16. Wie schon das primitive *ἐπιβαίνειν τινός* die figürliche Bedeutung hat 'in Besitz nehmen, erlangen' (Homer *ἐπιβαίνειν ἐυκλείης*, *ἐυφροσύνης*, *ἀναιδείης* u. ä., Hesiod *τιμῆς καὶ γεράων*), so ist *ἐπιβατεύειν* hier und IX 95 4, wahrscheinlich nach ionischem Gebrauche, mit tadelndem Sinne 'sich beilegen, anmafsen' (frz. empiéter sur..), VI 65 18 aber, dem zu Grunde liegenden Bilde näherstehend, 'fufsen, sich stützen'. Diese letztere Bedeutung auch hier gelten zu lassen würde nicht dem Gedanken des Redenden entsprechen, dem es noch unbekannt war, dafs der Betrüger in Wahrheit selber Smerdis hiefs.

64. 2. *ἔτυψε* 'traf, durchfuhr ihn plötzlich, wurde ihm plötzlich klar'. Terent. Andr. 125 *percussit ilico animum*: *attat hoc illud est, Hinc illae lacrimae*. Ähnl. Liv. I 5 *tetigerat animum memoria nepo-*

Digitized by Google

τε λόγων καὶ τοῦ ἐνυπνίου· ὃς ἐδόκεε ἐν τῷ ὕπνῳ ἀγγελίαι τινά οἱ ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν ἀδελφεόν, ἀπέκλαιε Σμέρδιν. ἀποκλαύσας δὲ καὶ περιημεκτήσας τῇ ἀπάσῃ συμφορῇ ἀναθρῴσκει ἐπὶ τὸν ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίστην ἐς Σοῦσα στρατεύεσθαι ἐπὶ τὸν Μάγον. καί οἱ ἀναθρῴσκοντι ἐπὶ τὸν ἵππον τοῦ κολεοῦ τοῦ ξίφεος ὁ μύκης ἀποπίπτει, γυμνωθὲν δὲ τὸ ξίφος παίει τὸν μηρόν. τρωματισθεὶς δὲ κατὰ τοῦτο τῇ αὐτὸς πρότερον τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε, ὡς οἱ καιρίην ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης ὅ τι τῇ πόλι οὔνομα εἴη· οἱ δὲ εἶπαν ὅτι Ἀγβάτανα. τῷ δὲ ἔτι πρότερον ἐκέχρηστο ἐκ Βουτοῦς πόλιος ἐν Ἀγβατάνοισι τελευτήσειν τὸν βίον. ὃ μὲν δὴ ἐν τοῖσι Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιός, ἐν τοῖσί οἱ ἦν τὰ πάντα πρήγματα· τὸ δὲ χρηστήριον ⟨ἐν⟩ τοῖσι ἐν Συρίῃ

tum. — *ἡ ἀληθείη* in bezug auf *ἐνυπνίου* ist objektiv zu nehmen, 'die Erfüllung'. — *ὅς, quippe qui.* Der Traum ist schon c. 30 erzählt.

3. *ἐδόκεε*: zu c. 30 10.

9. *καί* 'da' (I 1 22).

11. *ὁ μύκης*, der urspr. pilzförmige Knauf, welcher als Griff und Deckel der Scheide die obere Spitze der Klinge umschloſs (Schol. Nicand. Alexiph. 103 *μύκης κυρίως τὸ ἄκρον τοῦ ξίφους, τὸ κατακλεῖον τὴν θήκην*); fiel er ab, so war eine Selbstverwundung leicht möglich. Hekataeos Fr. 360 *καὶ ἁπαφήσας τὸν κουλεὸν τοῦ ξίφεος τὸν μύκην εὗρεν ἀποπεπτωκότα.* Den Namen *Μυκῆναι* leitete die Sage von der Todesart des Perseus ab: *τοῦ ξίφους γὰρ ἐνταῦθα ἐξέπεσεν ὁ μύκης αὐτῷ* (Pausan. II 16 3). Von Hannibal erzählt Pausanias VIII 11 11 *ἀνεπήδα τε ἐπὶ τὸν ἵππον καὶ γυμνωθέντος τοῦ ξίφους τιτρώσκεται τὸν δάκτυλον.*

12. *κατὰ τοῦτο*, sc. *κατὰ τὸν μηρόν* (c. 29 4). Die Perser trugen ein kurzes dolchartiges Schwert (*ἀκινάκης*) in einem Gehenk auf der rechten Seite (s. zu VII 54 11). — Abweichend erzählt Ktesias Exc. Pers. 12 *ἀφικόμενος εἰς Βαβυλῶνα καὶ ξέων ξυλάριον μαχαίρᾳ διατριβῆς χάριν παίει τὸν μηρὸν εἰς τὸν μῦν καὶ ἐνδεκαταῖος τελευτᾷ.* H.'s Darstellung verrät durch die superstitiöse Beziehung auf den Apis ägyptische Quelle. Die Todesart selbst wird durch die Inschrift des Dareios bestätigt (zu c. 61 1).

13. *οἱ* — *ἔδοξε*, sibi visus est. — *καιρίην*, erg. *πληγήν.* Äschyl. Ag. 1297 *πέπληγμαι καιρίαν πληγὴν ἔσω.* Dieselbe Ellipse Soph. Ant. 1308 *τί οὐκ ἀνταίαν ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;* Der Komiker Xenarchos bei Athen. 225ª *ἦσαν δὲ πληγαί· καιρίαν δ' εἰληφέναι δόξας καταπίπτει.*

16. *ἐκ Βουτοῦς πόλιος*: zu II 63 1.

18. *τὰ κάντα πρήγματα*, der Mittelpunkt seiner Macht.

19. Stephanos Byz. v. *Ἀγβάτανα, πολίχνιον Συρίας, Ἡρόδοτος*

Digitized by Google

Ἀγβατάνοισι ἔλεγε ἄρα. καὶ δὴ ὡς τότε ἐπειρόμενος ἐπύθετο τῆς πόλιος τὸ οὔνομα, ὑπὸ τῆς συμφορῆς τῆς τε ἐκ τοῦ Μάγου ἐκπεπληγμένος καὶ τοῦ τρώματος ἐσωφρόνησε. συλλαβὼν δὲ τὸ θεοπρόπιον εἶπε „ἐνθαῦτα Καμβύσεα τὸν Κύρου ἐστὶ πεπρωμένον τελευτᾶν."

Τότε μὲν τοσαῦτα. ἡμέρῃσι δὲ ὕστερον ὡς εἴκοσι μετὰ πεμψάμενος Περσέων τῶν παρεόντων τοὺς λογιμωτάτους ἔλεγέ σφι τάδε. „ὦ Πέρσαι, καταλελάβηκέ με, τὸ πάντων μάλιστα ἔκρυπτον πρηγμάτων, τοῦτο ἐς ὑμέας ἐκφῆναι. ἐγὼ γὰρ ἐὼν ἐν Αἰγύπτῳ εἶδον ὄψιν ἐν τῷ ὕπνῳ, τὴν μηδαμὰ ὄφελον ἰδεῖν· ἐδόκεον δέ μοι ἄγγελον ἐλθόντα ἐξ οἴκου ἀγγέλλειν ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. δείσας δὲ μὴ ἀφαιρεθέω τὴν ἀρχὴν πρὸς τοῦ ἀδελφεοῦ, ἐποίησα ταχύτερα ἢ σοφώτερα· ἐν τῇ γὰρ ἀνθρωπηίῃ φύσι οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτράπειν. ἐγὼ δὲ ὁ μάταιος Πρηξάσπεα ἀποπέμπω ἐς Σοῦσα ἀποκτε-

τρίτῳ. οἱ δὲ νῦν Βατάνειαν αὐτὴν καλοῦσι. Derselbe v. *Βατανέαι, συνοικία Συρίας, ἡ καὶ Βατανέα ἐνικῶς. ἔστι καὶ Βάτανα πρὸς τῷ Εὐφράτῃ.* Der Ort ist an einer Straſse von Phönikien über Damaskos nach Syrien zu suchen, vermutlich an der altassyrischen, welche von Ägypten längs der syrischen Küste bis in die Nähe der Stadt Berytos führte, wo sie an der Mündung des Lykos (Nahr el Kelb) sich östlich über das Gebirg nach Damaskos und an den Euphrat zog. Noch Josephus Vit. 11 bezeugt einen Ort des Namens Agbatana in jener Richtung. Derselbe gibt Arch. XI 2 2 an, Kambyses sei in Damaskos gestorben.

20. *ἄρα* 'also', wie sich jetzt ergab. So steht die Partikel oft, meist mit dem Imperfekt, beim Ausdruck einer überraschenden, enttäuschenden oder bestätigenden Erfahrung oder Einsicht, und dann meist entfernt vom Anfange des Satzes. So unten c. 65 12 *οὐκ ἐνῆν ἄρα* 'es lag also nicht', sc. wie ich bisher gemeint, c. 70 4. IV 45 22. 64 18. VI 100 6. VII 35 10. 130 8. VIII 8 7. 111 10. IX 48 7. 48 12.

21. Eig. *ὑπὸ τῆς τε συμφορῆς τῆς..* Zu I 205 35.

65. 1. *τοσαῦτα* 'nur soviel' (I 128 4).

3. *καταλελάβηκε*, erg. *ἀναγκαίη* (c. 75 11) oder *συμφορή* (IV 161 3), wie hier ohne bestimmtes Subjekt mit folg. Infin. II 152 7 und 15. III 118 2. IV 33 21. 105 3. VI 38 7. 103 4. VII 155 2. VIII 55 7. IX 75 5.

6. *μηδαμά* = *μήποτε*. — *ἐδόκεον δέ . . .* erläutert *εἶδον ὄψιν*. Zu I 108 3.

10. *ταχύτερα ἢ σοφώτερα*: ebenso VII 194 *γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργασάμενος εἴη*. Eurip. Med. 185 *πρόθυμος μᾶλλον ἢ σοφωτέρα*.

11. Über den fatalistischen Gedanken zu I 91 4.

Digitized by Google

νέοντα Σμέρδιν. ἐξεργασθέντος δὲ κακοῦ τοσούτου ἀδεῶς διαιτώμην, οὐδαμὰ ἐπιλεξάμενος μή κοτέ τίς μοι Σμέρδιος ὑπαραιρημένου ἄλλος ἐπαναστὰὴ ἀνθρώπων. παντὸς δὲ τοῦ μέλλοντος ἔσεσθαι ἁμαρτὼν ἀδελφεοκτόνος τε οὐδὲν δέον γέγονα καὶ τῆς βασιληίης οὐδὲν ἧσσον ἐστέρημαι· Σμέρδις γὰρ δὴ ἦν ὁ Μάγος τόν μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψι ἐπαναστήσεσθαι. τὸ μὲν δὴ ἔργον ἐξέργασταί μοι, καὶ Σμέρδιν τὸν Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ ὑμῖν Μάγοι κρατέουσι τῶν βασιληίων, τόν τε ἔλιπον ἐπίτροπον τῶν οἰκίων καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν μέν νυν μάλιστα χρῆν ἐμεῦ αἰσχρὰ πρὸς τῶν Μάγων πεπονθότος τιμωρέειν ἐμοί, οὗτος μὲν ἀνοσίῳ μόρῳ τετελεύτηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηιοτάτων· τούτου δὲ μηκέτι ἐόντος, δεύτερα τῶν λοιπῶν ὑμῖν ὦ Πέρσαι γίνεταί μοι ἀναγκαιότατον ἐντέλλεσθαι τὰ θέλω μοι γενέσθαι τελευτῶν τὸν βίον· καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω, θεοὺς τοὺς βασιληίους

14. *μή* wegen des in *ἐπιλεξάμενος* (= *λογισάμενος*) angedeuteten Begriffes der Furcht. Mit diesem Nebenbegriff auch VII 47 12. 49 22. 50 3. 52 10. 149 7. 236 18.

16. *ἁμαρτών*, wie I 71 *ἁμαρτὼν τοῦ χρησμοῦ*, 207 *ἢν γὰρ ἐγὼ γνώμης μὴ ἁμάρτω*.

18. *ὁ δαίμων προέφαινε*: ebenso I 210 3. Träume sind Offenbarungen der Gottheit; vgl. VII 12 ff.

22. *βασιληίων*: zu c. 61 8.

23 ff. So rechtfertigte Kambyses nachträglich den klagenden Vorwurf seiner Schwester (c. 32 11 ff.).

26. *μηκέτι*, ungenau für *οὐκέτι*. Ebenso II 28 21. III 127 12. VI (66 10) 94 7. VII. 125 11. 139 26. 214 11. Umgekehrt auch zuweilen *οὐ* statt *μή*: zu III 83 16. VII 172 16.

27. *τῶν λοιπῶν* abh. von *ἀναγκαιότατον*, 'unter dem Übrigen', was ich auch noch zu sagen habe. Er hätte, so nahe vor seinem Tode, noch vieles zu sagen und anzuordnen: aber er will sich auf das Dringlichste beschränken. (*τῶν λοιπῶν* von *ὑμῖν* abhängen zu lassen, wie V 49 10. VI 37 3, verbietet der dann entstehende Widersinn als ob K. seine Forderung, *ἀνασώσασθαι τὴν ἀρχήν*, an noch andere als die Perser hätte richten können.)

29. *θεοὺς τοὺς βασιληίους*: ebenso V 106 Histiaeos an Dareios *θεοὺς ἐπόμνυμι τοὺς βασιληίους*. Xenophon An. III 1 12 gerät über einen Traum in Besorgnis *ὅτι ἀπὸ Διὸς βασιλέως τὸ ὄναρ ἐδόκει εἶναι*. Plut. mor. p. 338 betet Dareios Kodom. *Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι θεοί*, und von demselben sagt Iustin. XI 15 *precari superum inferumque numina et regales deos*. Dio Chrys. or. 74 p. 399 *τί δὲ ὁ βασιλεύς; οὐχὶ καὶ τοὺς βασιλείους θεοὺς καὶ τὴν δεξιὰν ἀπέστειλεν;* Appian. Syr. 60 Seleukos *πάντας ὤμνυ τοὺς βασιλείους θεούς*. In den Inschriften zu Persepolis wendet König Dareios sein Gebet zu 'Auramazda und den Stammgöttern'.

Digitized by Google

ἐπικαλέων καὶ πᾶσι ὑμῖν καὶ μάλιστα Ἀχαιμενιδέων τοῖσι παρεοῦσι, μὴ περιιδεῖν τὴν ἡγεμονίην αὖτις ἐς Μήδους περιελθοῦσαν, ἀλλ' εἴτε δόλῳ ἔχουσι αὐτὴν κτησάμενοι, δόλῳ ἀπαιρεθῆναι ὑπὸ ὑμέων, εἴτε καὶ σθένεϊ τεῷ κατεργασάμενοι, σθένεϊ κατὰ τὸ καρτερὸν ἀνασώσασθαι. καὶ ταῦτα μὲν ποιεῦσι ὑμῖν γῆ τε καρπὸν ἐκφέροι καὶ γυναῖκές τε καὶ ποίμναι τίκτοιεν, ἐοῦσι ἐς τὸν ἅπαντα χρόνον ἐλευθέροισι· μὴ δὲ ἀνασωσαμένοισι τὴν ἀρχὴν μηδ' ἐπιχειρήσασι [ἀνασῴζειν] τὰ ἐναντία τούτοισι ἀρῶμαι ὑμῖν γενέσθαι, καὶ πρὸς ἔτι τούτοισι τὸ τέλος Περσέων ἑκάστῳ ἐπιγενέσθαι οἷον ἐμοὶ ἐπιγέγονε." ἅμα τε εἶπας ταῦτα ὁ Καμβύσης ἀπέκλαιε πᾶσαν τὴν ἑωυτοῦ πρῆξιν.

Πέρσαι δὲ ὡς τὸν βασιλέα εἶδον ἀνακλαύσαντα πάντες τά τε ἐσθῆτος ἐχόμενα εἶχον, ταῦτα κατηρείκοντο

30. Ἀχαιμενιδέων: darunter Dareios Hystaspes' Sohn (c. 139), wahrscheinlich auch Otanes (zu c. 68 3).

32. Μήδους, insofern die Mager der angesehenste Stamm der Meder waren.

33. Die Koncinnität verlangte ἀπελεῖν αὐτούς, parallel zu ἀνασώσασθαι; so aber ist das Verb zu dem Subjekte des Nebensatzes εἴτε δόλῳ ἔχουσι konstruiert. Vgl. zu I 33 2.

34. κατεργασάμενοι = κτησάμενοι (I 201 1). — σθένεϊ κατὰ τὸ καρτερόν, *vi armisque*, wie I 212 μάχῃ κατὰ τὸ καρτερόν. Zu letzterem vgl. κατὰ τὸ ἰσχυρόν (I 76 16).

35 ff. Fluch und Segen bewähren sich nach alter Ansicht vorzüglich an drei Dingen, Familie Herden Acker. VI 139 ἀποκτείνασι δὲ τοῖσι Πελασγοῖσι τοὺς σφετέρους παῖδάς τε καὶ γυναῖκας οὔτε γῆ καρπὸν ἔφερε οὔτε γυναῖκές τε καὶ ποίμναι ὁμοίως ἔτικτον καὶ πρὸ τοῦ. IX 93 αὐτίκα μετὰ ταῦτα οὔτε πρόβατά σφι ἔτικτε οὔτε γῆ ἔφερε ὁμοίως καρπόν. Vgl. auch I 167. Den Fluch, der unter Ödipus auf Theben lastete, schildert Soph. O. T. 25 (πόλις) φθίνουσα μὲν κάλυξιν ἐγκάρποις χθονός, φθίνουσα δ' ἀγέλαις βουνόμοις, τοκοῖσί τε Ἀγόνοις γυναικῶν, und 269 droht Ödipus den Übertretern seines Gebotes θεοὺς μήτ' ἄροτον αὐτοῖς γῆς ἀνιέναι τινὰ μήτ' οὖν γυναικῶν παῖδας. Dazu der Schwur und Fluch der Amphiktyonen bei Äschines g. Ktes. 111, der Kreter C. I. G. 2555, und die Beschreibung einer solchen Heimsuchung bei Dionysios Hal. Arch. I 23. — Auch Prexaspes bedroht c. 75 14 die Perser mit Unglück, falls sie den Mager nicht stürzten.

37. μὴ δέ, wie II 177 7.

42. πρῆξιν, *fortunam*. Äschyl. Prom. 693 πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς, Soph. Trach. 293 ἀνδρὸς εὐτυχῆ κλύουσα πρᾶξιν.

66. 2 f. τὰ ἐσθῆτος ἐχόμενα, *quidquid vestimenti habebant* (I 120 17). — κατηρείκοντο = 'zerrissen von oben bis unten'. Äschyl. Pers.

Digitized by Google

καὶ οἰμωγῇ ἀφθόνῳ διεχρέωντο. μετὰ δὲ ταῦτα ὡς ἐσφακέλισέ τε τὸ ὀστέον καὶ ὁ μηρὸς τάχιστα ἐσάπη, ἀπήνεικε Καμβύσεα τὸν Κύρου, βασιλεύσαντα μὲν τὰ πάντα ἑπτὰ ἔτεα καὶ πέντε μῆνας, ἄπαιδα δὲ τὸ παράπαν ἐόντα ἔρσενος καὶ θήλεος γόνου. Περσέων δὲ τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο τοὺς Μάγους ἔχειν τὰ πρήγματα, ἀλλ' ἠπιστέατο ἐπὶ διαβολῇ εἰπεῖν Καμβύσεα τὰ εἶπε περὶ τοῦ Σμέρδιος θανάτου, ἵνα οἱ ἐκπολεμωθῇ πᾶν τὸ Περσικόν. οὗτοι μέν νυν ἠπιστέατο Σμέρδιν τὸν Κύρου βασιλέα ἐνεστεῶτα· δεινῶς γὰρ καὶ ὁ Πρηξάσπης ἔξαρνος ἦν μὴ μὲν ἀποκτεῖναι Σμέρδιν· οὐ γὰρ ἦν οἱ ἀσφαλὲς Καμβύσεω τετελευτηκότος φάναι τὸν Κύρου υἱὸν ἀπολωλεκέναι αὐτοχειρίῃ.

67 Ὁ δὲ δὴ Μάγος τελευτήσαντος Καμβύσεω ἀδεῶς ἐβασίλευσε [ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου] μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους Καμβύσῃ ἐς τὰ ὀκτὼ ἔτεα τῆς πληρώσιος· ἐν τοῖσι ἀπεδέξατο ἐς τοὺς ὑπη-

537 von den persischen Matronen πολλαὶ δ' ἀταλαῖς χερσὶ καλύπτρας κατερεικόμεναι - ὀλίγους μετέχουσαι.

5. ἀπήνεικε, abstulit, sc. ὁ μηρὸς σαπείς. VI 27 τοὺς δὲ - λοιμὸς ὑπολαβὼν ἀπήνεικε. — τὸν Κύρου: von dem Zusatze an dieser Stelle zu VII 185 12.

6. Kambyses reg. 529—522 v. Chr. Zwar berechnete Manethos seine Regierung auf 10 J.; aber die herodotische Angabe wird durch den astronomischen Kanon und ihr Verhältnis zu den Regierungen des Kyros (558 — 529) und Dareios (521 — 485) unzweifelhaft. — τὰ πάντα: von diesem formelhaften Zusatze s. zu I 214 14. — ἄπαιδα γόνου: zu I 109 11.

8. ὑπεκέχυτο, wie II 152 14. Vgl. Cic. ad fam. I 9 22 animum tuum cum mihi amicissimum tum nulla in ceteros malevolentia suffusum.

9. τὰ πρήγματα = τὸ κράτος, τὴν βασιληίην. — ἠπιστέατο 'glaubten' (I 3 4). — ἐπὶ διαβολῇ 'um sie zu täuschen'; vgl. zu c. 1 23.

12 f. βασιλέα ἐνεστεῶτα, wie I 120 σέο ἐνεστεῶτος βασιλέος, VI 59 ἐὰν ἀποθανόντος τοῦ βασιλέος ἄλλος ἐνίστηται βασιλεύς. Vgl. c. 68 ἐνιστάμενος ἐς τὴν ἀρχήν, 80 στάντα ἐς ταύτην τὴν ἀρχήν.

Otanes und seine Tochter. Die Verschwörung der Sieben (c. 67—73).

67. 2. ἐβασίλευσε: der Aorist bei der Angabe der abgeschlossenen Regierungsdauer, wie I 16 2. II 157 1. 158 1. — Der unechte Beisatz ist nach c. 63 16 gebildet.

3 f. Verb. τοὺς ἐπιλοίπους Καμβύσῃ τῆς πληρώσιος ἐς τὰ ὀκτὼ ἔτεα, 'die dem Kambyses noch rückständig waren an der Ausfüllung bis zu acht Jahren' d. i. 'die dem K. noch an vollen acht Jahren fehlten'. ἐπίλοιπος hier = ἐπιδεής (VII 29 12). Über πληρώσιος ἐς„ zu II 7 11;

Digitized by Google

κόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ πάρεξ αὐτῶν Περσέων. διαπέμψας γὰρ ὁ Μάγος ἐς πᾶν ἔθνος τῶν ἦρχε, προεῖπε ἀτελείην εἶναι στρατηίης καὶ φόρου ἐπ' ἔτεα τρία. προεῖπε μὲν δὴ ταῦτα αὐτίκα ἐνιστάμενος 68 ἐς τὴν ἀρχήν, ὀγδόῳ δὲ μηνὶ ἐγένετο κατάδηλος ὃς ἦν τρόπῳ τοιῷδε. Ὀτάνης ἦν Φαρνάσπεω μὲν παῖς, γένεῖ δὲ καὶ χρήμασι ὁμοιος τῷ πρώτῳ Περσέων. οὗτος ὁ Ὀτάνης πρῶτος ὑπώπτευσε τὸν Μάγον ὡς οὐκ εἴη ὁ Κύρου Σμέρδις ἀλλ' ὃς περ ἦν, τῇδε συμβαλόμενος, ὅτι τε οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος καὶ ὅτι οὐκ ἐκάλεε ἐς ὄψιν ἑωυτῷ οὐδένα τῶν λογίμων Περσέων· ὑποπτεύσας δέ μιν ἐποίεε τάδε. ἔσχε αὐτοῦ Καμβύσης θυγατέρα, τῇ οὔνομα ἦν Φαιδύμη· τὴν αὐτὴν δὴ ταύτην εἶχε τότε ὁ Μάγος καὶ ταύτῃ τε συνοίκεε καὶ τῇσι ἄλλῃσι πάσῃσι τῇσι τοῦ Καμβύσεω γυναιξί. πέμπων δὴ ὧν ὁ Ὀτάνης παρὰ ταύτην τὴν θυγατέρα ἐπυνθάνετο παρ' ὅτεῳ ἀνθρώπων κοιμῷτο, εἴτε μετὰ Σμέρδιος τοῦ Κύρου εἴτε μετὰ ἄλλου τευ. ἣ δέ οἱ ἀντέπεμπε φαμένη οὐ γινώσκειν· οὔτε γὰρ τὸν Κύρου Σμέρδιν ἰδέσθαι οὐδαμὰ οὔτε ὅστις εἴη ὁ συνοικέων αὐτῇ εἰδέναι. ἔπεμπε δεύτερα ὁ Ὀτάνης λέγων „εἰ μὴ αὐτὴ Σμέρδιν

über den Artikel *τά* bei *ὀκτὼ ἔτεα* zu VIII 82 9.

6. *αὐτοῦ πόθον ἔχειν*: über den Grund dazu vgl. c. 89.

68. 2 f. *ὅς*: zu I 56 5. — Otanes, Pharnaspes' Sohn, gehörte zur regierenden Familie der Achämeniden, ob zur älteren oder jüngeren Linie (zu VII 11 8) ist unbekannt, und war der Schwager des Kyros, Oheim und Schwiegervater des Kambyses (c. 2 u. unten 10). Andere Perser des Namens V 25. VII 40. 61. — *γένεῖ καὶ χρήμασι*: vgl. VI 73 *τοὺς πλείστου ἀξίους καὶ πλούτῳ καὶ γένεῖ ἤγον*, VII 134 *φύσι τε γεγονότες εὖ καὶ χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα.*

6. *ὁ Κύρου Σμέρδις*: zu II 44 17. — *ὃς περ ἦν, qui revera erat* (II 116 4. VI 9 22).

7. Bei *ἀκρόπολις* denkt zwar H. wohl an die Königsburg (*βασιλήιον τεῖχος* c. 74 15) in Susa, die auch sonst so genannt wird (vgl. zu V 53 5); s. jedoch zu c. 70 9.

9. *ἔσχε* u. 11. *εἶχε*: zu c. 31 23.

12. Auch Dareios übernimmt die Frauen seines Vorgängers (c. 88). Denn der Harem ist gleichsam ein Teil des Kroninventars, das auf den neuen Herrscher übergeht und die Rechtmäfsigkeit seiner Würde bekräftigt.

15. *ἀντέπεμπε φαμένη* 'liefs zurücksagen', wie 18 *ἔπεμπε λέγων* 'liefs sagen'.

Digitized by Google

τὸν Κύρου γινώσκεις, σὺ δὲ παρὰ Ἀτόσσης πύθευ ὅτεῳ τούτῳ συνοικέει αὐτή τε ἐκείνη καὶ σύ· πάντως γὰρ δή κου τόν γε ἑωυτῆς ἀδελφεὸν γινώσκει". ἀντιπέμπει πρὸς ταῦτα ἡ θυγάτηρ „οὔτε Ἀτόσσῃ δύναμαι ἐς λόγους ἐλθεῖν οὔτε ἄλλην οὐδεμίαν ἰδέσθαι τῶν συγκατημενέων γυναικῶν. ἐπείτε γὰρ τάχιστα οὗτος ὠνθρωπος, ὅστις κοτὲ ἐστί, παρέλαβε τὴν βασιληίην, διέσπειρε ἡμέας ἄλλην ἄλλῃ τάξας". ἀκούοντι δὲ ταῦτα τῷ Ὀτάνῃ μᾶλλον κατεφαίνετο τὸ πρῆγμα. τρίτην δὴ ἀγγελίην ἐσπέμπει παρ' αὐτὴν λέγουσαν ταῦτα. „ὦ θύγατερ, δεῖ σε γεγονυῖαν εὖ κίνδυνον ἀναλαβέσθαι τὸν ἂν ὁ πατὴρ ὑποδύνειν κελεύῃ. εἰ γὰρ δὴ μή ἐστι ὁ Κύρου Σμέρδις ἀλλὰ τὸν καταδοκέω ἐγώ, οὗτοι μιν σοί τε συγκοιμώμενον καὶ τὸ Περσέων κράτος ἔχοντα δεῖ χαίροντα ἀπαλλάσσειν, ἀλλὰ δοῦναι δίκην. νῦν ὦν ποίησον τάδε· ἐπεὰν σοὶ συνεύδῃ καὶ μάθῃς αὐτὸν κατυπνωμένον, ἄφασον αὐτοῦ τὰ ὦτα· καὶ ἢν μὲν φαίνηται ἔχων ὦτα, νόμιζε σεωυτὴν Σμέρδι τῷ Κύρου συνοικέειν, ἢν δὲ μὴ ἔχων, σὺ δὲ τῷ Μάγῳ Σμέρδι." ἀντιπέμπει πρὸς ταῦτα ἡ Φαιδύμη φαμένη κινδυνεύσειν μεγάλως, ἢν ποιέῃ ταῦτα· εἰ γὰρ δὴ μὴ τυγχάνει τὰ ὦτα ἔχων, ἐπίλαμπτος δὲ ἀφάσσουσα ἔσται, εὖ εἰδέναι ὡς ἀιστώσει μιν· ὅμως μέντοι ποιήσειν ταῦτα. ἣ μὲν δὴ ὑπεδέξατο ταῦτα τῷ πατρὶ κατεργάσεσθαι. τοῦ δὲ Μάγου τούτου τοῦ Σμέρδιος Κῦρος ὁ Καμβύσεω ἄρχων τὰ ὦτα ἀπέταμε ἐπ'

19. *σὺ δέ*: zu I 112 9. — *Ἀτόσσης*: zu c. 31 23. — *ὅτεῳ τούτῳ* = *ὅστις ἐστὶ οὗτος τῷ*.

23. *τῶν συγκατημενέων* 'der mit mir zusammenwohnenden', näml. im *γυναικήιον*. *κατῆσθαι* oft von ruhigem ständigen Aufhalten und Wohnen (V 63 2. IX 90 3); vgl. zu I 46 1. II 86 1.

69. 4. *γεγονυῖαν εὖ* 'von edler Geburt, wohlgeboren' (VII 134 13).

7. *χαίροντα*: zu c. 29 7.

8. *νῦν ὦν*: zu I 30 13.

14. *ἐπίλαμπτος* ion. = *ἐπίληπτος*, wie 127 20 *καταλαμπτέος* = *καταληπτέος*, IV 13 2 *φοιβόλαμπτος* = *φοιβόληπτος* u. a. — *ἐπίλαμπτος ἔσται*, genauer als *ἐπιλαμφθήσεται*, *deprehensa fuerit*. Von der Periphrase zu V 63 5.

15. *ἀιστώσει*, poet. = *ἀφανισει* (c. 127 16). Od. *κ* 259 *οἱ δ' ἅμ' ἀιστώθησαν ἀολλέες οὐδέ τις αὐτῶν Ἐξεφάνη*. (Von *ἄιστος*, aus der Wurzel *ιδ*, *invisibilis*; vgl. *ἄϊδηλος*). — *μιν* = *ἑωυτήν*.

18. Verstümmelung war eine bei

Digitized by Google

αἰτίῃ δή τινι οὐ σμικρῇ. ἡ ὧν δὴ Φαιδύμη αὕτη, ἡ τοῦ Ὀτάνεω θυγάτηρ, πάντα ἐπιτελέουσα τὰ ὑπεδέξατο τῷ πατρί, ἐπείτε αὐτῆς μέρος ἐγίνετο τῆς ἀπίξιος παρὰ τὸν Μάγον (ἐν περιτροπῇ γὰρ δὴ αἱ γυναῖκες φοιτέουσι τοῖσι Πέρσῃσι), ἐλθοῦσα παρ' αὐτὸν ηὔδε, ὑπνωμένου δὲ καρτερῶς τοῦ Μάγου ἤφασε τὰ ὦτα. μαθοῦσα δὲ οὐ χαλεπῶς ἀλλ' εὐπετέως οὐκ ἔχοντα τὸν ἄνδρα ὦτα, ὡς ἡμέρη τάχιστα ἐγεγόνεε, πέμψασα ἐσήμηνε τῷ πατρὶ τὰ γενόμενα.

Ὁ δὲ Ὀτάνης παραλαβὼν Ἀσπαθίνην καὶ Γοβρύην Περσέων τε πρώτους ἐόντας καὶ ἑωυτῷ ἐπιτηδεοτάτους ἐς πίστιν, ἀπηγήσατο πᾶν τὸ πρῆγμα· οἱ δὲ καὶ αὐτοὶ

der persischen Justizpflege nicht seltene Strafe; vgl. c. 118 13. 154 12. IX 112 5. Xen. An. I 9 13 vom jüngern Kyros *ἀφειδέστατα πάντων ἐτιμωρεῖτο (κακούργους)· πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στερομένους ἀνθρώπους.* — *ἐπ' αἰτίῃ δή τινι, nescio quam ob culpam*, wie sonst in diesem Sinne *ὅτεῳ δή*: vgl. zu I 86 28. 157 5. Wie hier VIII 106 *καταβὰς κατὰ δή τι πρῆγμα.*

19. *ἡ-θυγάτηρ*, die würdige Tochter ihres Vaters; vgl. zu 4.

21 ff. *αὐτῆς ἐγίνετο* 'ihr zukam'. Vgl. VI 110 5. VII 148 24. IX 10 6. — *τῆς ἀπίξιος* abh. von *μέρος* 'Reihe'. — *παρὰ τὸν Μάγον;* vom fehlenden Artikel (*τῆς*) zu c. 7 2.

25. *οὐ χαλεπῶς ἀλλ' εὐπετέως*: zu c. 25 6. H. scheint damit auf eine andere abweichende Darstellung (des Milesiers Dionysios? vgl. zu 61 13) Bezug zu nehmen.

26. *τὰ γενόμενα*, das Ergebnis. — Aufser H. und Iustinus meldet kein anderer dafs dem Mager die Ohren gefehlt.

70. Nach H.'s Erzählung gab Otanes den ersten Anstofs zum Sturze der Mager; in seiner Inschrift zu Behistan aber (Col. I Z. 13) beansprucht Dareios das Verdienst allein: 'Es war niemand, weder ein Perser noch ein Meder noch jemand von unserer Familie, der Gaumâta dem Mager das Reich entrissen hätte. Das Volk fürchtete ihn wegen seiner Grausamkeit; er möchte viele Leute töten, die den früheren Bardiya gekannt hatten; deswegen möchte er die Leute töten, „damit man mich nicht kenne, dafs ich nicht Bardiya der Sohn des Kuru bin". Niemand wagte etwas zu reden über Gaumâta den Mager, bis ich kam' (vgl. unten zu 9). Auch läfst ihn H. c. 71 4 ff. in diesem Sinne reden. — *Ἀσπαθίνην*: andere La. *Ἀσπαθήνην* (noch c. 78 11. VII 97 3), womit der persische Namen *Açpacanâ*, dessen Inhaber in einer Inschrift von Persepolis 'der Pfeilhalter des Königs Dareios' heifst, besser stimmt. — *Γοβρύην*, pers. *Gaubaruva*, Vater des Mardonios (VI 43), Schwiegervater und Schwager des Dareios (VII 2. 5), dessen 'Bogenträger' ihn eine Inschrift nennt. In den Hss. auch *Γωβρύης.*

2. *Περσέων πρώτους*, die Häupter der Familien aus dem Stamme der Pasargaden (I 125), zu denen auch die übrigen Verschworenen gehörten.

3. *καὶ αὐτοί* 'schon von selbst' (IX 6 12). Soph. O. K. 1148 *τί δεῖ*

Digitized by Google

ἄρα ὑπώπτευον οὕτω τοῦτο ἔχειν, [ἀνενείκαντος δὲ τοῦ
5 Ὀτάνεω τοὺς λόγους ἐδέξαντο, καὶ ἔδοξέ σφι ἕκαστον
ἄνδρα Περσέων προσεταιρίσασθαι τοῦτον ὅτεῳ πιστεύει
μάλιστα. Ὀτάνης μέν νυν ἐσάγεται Ἰνταφρένεα, Γο-
βρύης δὲ Μεγάβυζον, Ἀσπαθίνης δὲ Ὑδάρνεα. γεγονό-
των δὲ τούτων ἕξ, παραγίνεται ἐς τὰ Σοῦσα Δαρεῖος ὁ
10 Ὑστάσπεος ἐκ Περσέων ἥκων· τούτων γὰρ δὴ ἦν οἱ ὁ
πατὴρ ὕπαρχος. ἐπεὶ ὦν οὗτος ἀπίκετο, τοῖσι ἕξ τῶν
71 Περσέων ἔδοξε καὶ Δαρεῖον προσεταιρίσασθαι. συνελ-

μάτην Κομπεῖν, ἃ γ' εἴη καὐτὸς ἐκ ταύταιν ξυνών.

4 f. *ἄρα*, wie sich ergab als sie ins Vertrauen gezogen wurden; zu c. 64 20. — *ἀνενείκαντος*, sc. *τὸ πρῆγμα ἐς σφέας*, 'nachdem ihnen Otanes die Sache mitgeteilt hatte' (c. 71 20). — *λόγους* 'Vorschläge' des Otanes.

6. *τοῦτον ὅτεῳ*: zu IV 8 4.

7. *Ἰνταφρένεα*: so nach handschriftlichem Zeugnis st. des herkömmlichen *Ἰνταφέρνεα* (noch c. 78. 118 f.; vgl. zu V 25 2 über *Ἀρταφρένης*), entsprechend dem altpersischen *Viñdafranâ*. — Äsch. Pers. 776 nennt an seiner Stelle *Ἀρταφρένης*, Ktesias *Ἀταφέρνης*.

8. *Μεγάβυζον*, persisch *Bagabukhsa*, bei Iustin. III 1 *Bacabasus*. Vgl. zu c. 30 4. — *Ὑδάρνεα*, persisch *Vidarna*.

9. *τούτων ἕξ*: dieselbe Anzahl, aber nicht dieselben Namen gibt Dareios (Beh. IV 18): 'Dies sind die Männer, die damals dort waren, als ich Gaumâta den Mager tötete, der sich Bardiya nannte; damals halfen diese Männer mir als meine Anhänger: *Viñdafranâ* mit Namen, der Sohn des Vayaçpâra, ein Perser, *Utâna* mit Namen, der Sohn des Thukhra, ein Perser, *Gaubaruva* mit Namen, ein Sohn des Marduniya, ein Perser, *Vidarna* mit Namen, ein Sohn des Bagâbigna, ein Perser, *Bagabukhsa* mit Namen, der Sohn des Daduhya, ein Perser, *Ardumanis* mit Namen, der Sohn des Vahuka, ein Perser'. Bei Ktesias lauten sie ganz anders; s. zu c. 78 24. — *ἐς τὰ Σοῦσα*: hier als im Mittelpunkte des persischen Reiches denkt sich H. den Magerkönig residierend, und hier läfst er ihn ermordet werden. Anders Dareios (Beh. I 13, vgl. oben zu 1): 'Dann rief ich den Auramazda um Hilfe an; Aur. gewährte mir Beistand. Im Monate Bâgayâdis am 10. Tage, da war es, da tötete ich mit ergebenen Männern jenen Gaumâta den Mager und die welche seine vornehmsten Anhänger waren. Es ist eine Festung Çikathauvatis mit Namen, ein Bezirk Niçâya mit Namen in Medien, dort tötete ich ihn, ich nahm ihm die Herrschaft ab. Durch die Gnade des Aur. wurde ich König; Aur. übergab mir das Reich'.

10f. *οἱ*: zu I 34 16. — Hystaspes war das Haupt der jüngeren Linie der Achämeniden (vgl. zu VII 11 8), dem noch Kyros die Verwaltung Persiens anvertraut zu haben scheint (vgl. I 209). Sein ältester Sohn Dareios mufs, nach H., damals gegen 28 J. alt gewesen sein (vgl. I 209 9); nach Ktesias Pers. 19 erreichte er ein Alter von 72 J., war also, da er 485 gestorben ist, im J. 521 schon 36 J. alt. Nach dem Aussterben der älteren Linie war sein Vater der rechtmäfsige Thronerbe, trat aber wohl seine Rechte an den rüstigeren Sohn ab.

Digitized by Google

θόντες δὲ οὗτοι ἐόντες ἑπτὰ ἐδίδοσαν σφίσι πίστις καὶ λόγους. ἐπείτε δὲ ἐς Δαρεῖον ἀπίκετο γνώμην ἀποφαίνεσθαι, ἔλεγέ σφι τάδε. „ἐγὼ ταῦτα ἐδόκεον μὲν αὐτὸς μοῦνος ἐπίστασθαι, ὅτι τε ὁ Μάγος εἴη ὁ βασιλεύων καὶ Σμέρδις ὁ Κύρου τετελεύτηκε· καὶ αὐτοῦ τούτου εἵνεκεν ἥκω σπουδῇ ὡς συστήσων ⟨ὑμᾶς⟩ ἐπὶ τῷ Μάγῳ [θάνατον]. ἐπείτε δὲ συνήνεικε ὥστε καὶ ὑμέας εἰδέναι καὶ μὴ μοῦνον ἐμέ, ποιέειν αὐτίκα μοι δοκέει καὶ μὴ ὑπερβάλλεσθαι· οὐ γὰρ ἄμεινον.“ εἶπε πρὸς ταῦτα ὁ Ὀτάνης „ὦ παῖ Ὑστάσπεος, εἷς τε πατρὸς ἀγαθοῦ καὶ ἐκφαίνειν οἴκας σεωυτὸν ἐόντα τοῦ πατρὸς οὐδὲν ἧσσω· τὴν μέντοι ἐπιχείρησιν ταύτην μὴ οὕτω συντάχυνε ἀβούλως, ἀλλ᾽ ἐπὶ τὸ σωφρονέστερον αὐτὴν λάμβανε· δεῖ γὰρ πλεῦνας γενομένους οὕτω ἐπιχειρέειν“. λέγει πρὸς ταῦτα Δαρεῖος „ἄνδρες οἱ παρεόντες, τρόπῳ τῷ εἰρημένῳ ἐξ Ὀτάνεω εἰ χρήσεσθε, ἐπίστασθε ὅτι ἀπολέεσθε κάκιστα· ἐξοίσει γάρ τις πρὸς τὸν Μάγον, ἰδίῃ περιβαλλόμενος ἑωυτῷ κέρδεα. μάλιστα μέν νυν ὠφείλετε ἐπ᾽ ὑμέων αὐτῶν βαλλόμενοι ποιέειν ταῦτα· ἐπείτε δὲ ὑμῖν ἀναφέρειν ἐς πλεῦνας ἔδοξε καὶ ἐμοὶ ὑπερέθεσθε, ἢ ποιέωμεν σήμερον, ἢ ἴστε ὑμῖν ὅτι ἦν ὑπερπέσῃ ἡ νῦν ἡμέ-

71. 3. *ἀπίκετο*, 'als es an den Dareios kam'. Ohne bestimmtes Subjekt in ähnlichem Sinne das Simplex VI 57 *δικάζειν ἐς τὸν ἀνέεται ἔχειν αὐτήν, ad quem pertineat.*

5. *αὐτὸς μοῦνος* 'ganz allein', wie *εἷς μοῦνος.*

9. *ποιέειν* 'handeln' (II 151 16).

10. *οὐ γὰρ ἄμεινον*: zu I 187 8.

13 f. *ἀβούλως — σωφρονέστερον*: derselbe Gegensatz Thuk. I 32 *καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σωφροσύνη . . . νῦν ἀβουλία καὶ ἀσθένεια φανομένη. — λάμβανε* 'nimm die Unternehmung nach der mehr besonnenen Seite hin, fasse sie mit mehr Besonnenheit auf'.

18. *περιβαλλόμενος ἑωυτῷ* 'sich selber zulegend, für sich gewinnend'; vgl. VI 24 10. VII 190 8. VIII 8 6.

19 f. *ἐπ᾽ ἑωυτοῦ βαλλόμενον ποιέειν τι* 'etwas auf eigene Hand, Gefahr thun'; vgl. c. 155 16. IV 160 4. V 73 14. 106 18. VIII 109 5. — *ἀναφέρειν τι ἐς τινά* 'mitteilen', zur Beratung und Entscheidung (I 157 12. III 80 30. VI 66 4. VII 149 11).

21. *ὑπερέθεσθε*: zu I 8 6.

22 f. *ὑμῖν* gehört zu *ὑπερπέσῃ*. Von der Stellung zu I 115 8. 'Hinausgeschoben' (*ὑπερπέσῃ* = *ὑπερβληθῇ* wird eigentlich nicht der heutige Tag sondern die That. — *ὅτι*, durch *ὡς* aufgenommen, wie IX 6, 12. Plat. Hipp. m. 281 c. Vgl. auch

Digitized by Google

ρη, ὡς οὐκ ἄλλος φθὰς ἐμεῦ κατήγορος ἔσται, ἀλλά
72 σφεα αὐτὸς ἐγὼ κατερέω πρὸς τὸν Μάγον." λέγει πρὸς
ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχόμενον Δαρεῖον, „ἐ-
πείτε ἡμέας συνταχύνειν ἀναγκάζεις καὶ ὑπερβάλλεσθαι
οὐκ ἐᾷς, ἴθι ἐξηγέο αὐτὸς ὅτεῳ τρόπῳ πάριμεν ἐς
τὰ βασιλήια καὶ ἐπιχειρήσομεν αὐτοῖσι. φυλακὰς γὰρ
δὴ διεστεώσας οἶδάς κου καὶ αὐτός, εἰ μὴ ἰδών, ἀλλ' ἀ-
κούσας· τὰς τέῳ τρόπῳ περήσομεν;" ἀμείβεται Δα-
ρεῖος τοῖσιδε. „Ὀτάνη, ἦ πολλά ἐστι τὰ λόγῳ μὲν οὐκ
οἷά τε δηλῶσαι, ἔργῳ δέ· ἄλλα δ' ἐστὶ τὰ λόγῳ μὲν
οἷά τε, ἔργον δὲ οὐδὲν ἀπ' αὐτῶν λαμπρὸν γίνεται.
ὑμεῖς δὲ ἴστε φυλακὰς τὰς κατεστεώσας ἐούσας οὐδὲν
χαλεπὰς παρελθεῖν. τοῦτο μὲν γὰρ ἡμέων ἐόντων τοιῶνδε
οὐδεὶς ὅστις οὐ παρήσει, τὰ μέν κου καταιδεόμενος
ἡμέας, τὰ δέ κου καὶ δειμαίνων· τοῦτο δὲ ἔχω αὐτὸς
σκῆψιν εὐπρεπεστάτην τῇ πάριμεν, φὰς ἄρτι τε ἥκειν
ἐκ Περσέων καὶ βούλεσθαί τι ἔπος παρὰ τοῦ πατρὸς
σημῆναι τῷ βασιλέι. ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι,
λεγέσθω. τοῦ γὰρ αὐτοῦ γλιχόμεθα οἵ τε ψευδόμενοι
καὶ οἱ τῇ ἀληθείῃ διαχρεώμενοι· οἱ μέν γε ψεύδονται
τότε ἐπεάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες κερδή-
σεσθαι, οἱ δ' ἀληθίζονται ἵνα τῇ ἀληθείῃ ἐπισπά-

I 209 22 (*ὅκως — ὡς*). — *ἐμεῦ*, abhängig von *ἄλλος* (c. 8 3).

72. 5. *αὐτοῖσι*, sc. *τοῖσι Μάγοισι* (c. 76 2), die zwar noch nicht genannt, aber als Gegenstand der Verhandlung auch so hinlänglich bezeichnet sind. Vgl. c. 52 16.

6. *διεστεώσας*, *dispositas* (II 66 12).

12. *τοιῶνδε*, näml. *πρώτων τῶν Περσέων* (c. 77 3).

16. *παρὰ τοῦ πατρός*: vgl. c. 70 10.

17 ff. Die folgende Auslassung über die Erlaubnis der Gewinnlüge stimmt wenig zu dem Sittengesetze der Perser: *αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται* (I 138), wohl aber zu der volkstümlichen Vorstellung, die von des Dareios rücksichtslosem gewinnsüchtigen Charakter in Umlauf war (vgl. c. 89 16 f., auch I 187). Die Zulässigkeit der Notlüge war bei den Hellenen dieser Zeit ein Gegenstand der Erörterung und ward von den meisten bejaht (Äschyl. Fr. 294 *ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός*, Soph. Fr. 325 *καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν· Ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει, Συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν*); aber die Gewinnlüge hat niemand unter ihnen ernstlich verteidigt, und was hier für sie vorgebracht wird, soll blofs zur Charakteristik des Dareios dienen.

21. *ἐπισπᾶσθαι* 'an sich brin-

Digitized by Google

σωνται κέρδος καί τις μᾶλλόν σφι ἐπιτράπηται. οὕτω οὐ ταὐτὰ ἀσκέοντες τὠυτοῦ περιεχόμεθα. εἰ δὲ μηδὲν κερδήσεσθαι μέλλοιεν, ὁμοίως ἂν ὅ τε ἀληθιζόμενος ψευδὴς εἴη καὶ ὁ ψευδόμενος ἀληθής. ὃς ἂν μέν νυν τῶν πυλουρῶν ἑκὼν παριῇ, αὐτῷ οἱ ἄμεινον ἐς χρόνον ἔσται· ὃς δ' ἂν ἀντιβαίνειν πειρᾶται, δεικνύσθω ἐνθαῦτα ἐὼν πολέμιος, καὶ ἔπειτα ὠσάμενοι ἔσω ἔργου ἐχώμεθα." λέγει Γοβρύης μετὰ ταῦτα „ἄνδρες φίλοι, ἡμῖν κότε 73 κάλλιον παρέξει ἀνασώσασθαι τὴν ἀρχήν, [ἢ εἴ γε μὴ οἷοί τε ἐσόμεθα [αὐτὴν ἀναλαβεῖν], ἀποθανεῖν; ὅτε γε ἀρχόμεθα μὲν ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρὸς Μάγου, καὶ τούτου ὦτα οὐκ ἔχοντος· ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως κου μέμνησθε τὰ ἐπέσκηψε

gen', widerrechtlich oder gewaltthätig. Soph. Ai. 679 *ἐγὼ δὲ καὶ δίχα Κείνων (θεῶν) πέποιθα τοῦτ' ἐπισπάσειν κλέος.*

22. *ἐπιτράπηται* 'Vertrauen schenke'. Das Wort ist besonders von streitenden Parteien üblich, die ihre Sache dem Spruche eines Schiedsrichters anheimstellen. Vgl. I 96 24. V 95 10. Xen. An. I 9 von dem wahrheitsliebenden Kyros: *καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι.* Aber öfter im Aktiv. — Zum Gedanken vgl. Demokrit Fr. 125 *ἀληθομυθεύειν χρεὼν ὀπον λώιον.*

23. *ἀσκέοντες*: zu c. 82 11.

24f. Nur die Rücksicht auf Gewinn bestimmt jenen wahrhaftig, diesen lügnerisch zu sein; fiele diese Rücksicht weg, so würde jener ebenso (*ὁμοίως*) seiner natürlichen Neigung zur Lüge als dieser der seinigen zur Wahrheit folgen.

26. *ἐς χρόνον* 'dereinst'. VII 29 *οὔτε ἐς τὸ παρεὸν οὔτε ἐς χρόνον μεταμελήσει*, und IX 29 17.

27f. *δεικνύσθω — πολέμιος*, Andeutung ihn niederzustoßen. — *ἔργου ἐχώμεθα, opus aggrediamur* (II 121$^{\alpha}$ 20. VIII 11 3. 108 19. IX 102 12), meist wie hier von Gefahren und Kämpfen. Pind. Pyth. IV 233 vom Beginn eines gefahrvollen Unternehmens *Ἰάσωνα — θεᾷ πίσυνος εἶχετ' ἔργου.* Vgl. *ἔχεσθαι λόγου* VII 5 7. 6 10, *προφάσιος* VII 229 19. Soph. O. K. 423 *τῆς μάχης — ἧς νῦν ἔχονται.*

78. *κότε*, sc. *ἢ νῦν*, 'wann werden wir eine schönere Gelegenheit haben?' — *ἢ* 'oder'. S. zu IX 60 5.

3f. *ὅτε γε, quandoquidem* (IV 120 3. V 92*α* 4. VIII 80 4); vgl. *ὁκότε* (II 125 24). — Die Schmach von den Medern beherrscht zu werden und den drohenden Befehl des sterbenden Kambyses gebraucht Gobryes als mahnende Gründe die Herrschaft entweder wiederzugewinnen oder zu sterben. — *ἀρχόμεθα μέν*: das entsprechende Satzglied folgt mit *τε* (wie IV 139 7. 199 5), nicht in gegensätzlicher Form (*μεμνήμεθα δὲ τὰ ἐπέσκηψε...*). — *ἐόντες Πέρσαι*: über den persischen Nationalstolz vgl. I 134 6ff.

6. *τά*, welche Strafen. — *ἐπέσκηψε* hat hier den Nebenbegriff des Androhens (*ἐπισκήπτω = ἐπαρῶμαι* Hesych., vgl. c. 75 14), aber in der betr. Rede des Kambyses c. 65 30 u. IV 33 23. VII 158 6 'dringend anempfehlen, ans Herz legen'.

Digitized by Google

Πέρσῃσι τελευτῶν τὸν βίον μὴ πειρωμένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν· τὰ τότε οὐκ ἐνεδεκόμεθα, ἀλλ᾽ ἐπὶ διαβολῇ ἐδοκέομεν εἰπεῖν Καμβύσεα. νῦν ὦν τίθεμαι ψῆφον πείσεσθαι Δαρείῳ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ συλλόγου τοῦδε ἀλλ᾽ ἢ ἐπὶ τὸν Μάγον ἰθέως.“ ταῦτα εἶπε Γοβρύης, καὶ πάντες ταύτῃ ἄϊνεον.

74 *Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐβουλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. τοῖσι Μάγοισι ἔδοξε βουλευομένοισι Πρηξάσπεα φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμβύσεω ἀνάρσια, ὃς οἱ τὸν παῖδα τοξεύσας ἀπολωλέκεε, καὶ διότι μοῦνος ἠπίστατο τὸν Σμέρδιος τοῦ Κύρου θάνατον αὐτοχειρίῃ μιν ἀπολέσας, πρὸς δ᾽ ἔτι ἐόντα ἐν ἄϊνῃ μεγίστῃ [τὸν Πρηξάσπεα] ἐν Πέρσῃσι. τούτων δή μιν εἵνεκεν καλέσαντες φίλον προσεκτῶντο πίστι τε λαβόντες καὶ ὅρκοισι, ἢ μὲν ἔξειν παρ᾽ ἑωυτῷ μηδ᾽ ἐξοίσειν μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σφέων ἀπάτην ἐς Πέρσας γεγονυῖαν, ὑπισχνεύμενοι τὰ πάντα οἱ μυρία δώσειν. ὑποσχομένου δὲ τοῦ Πρηξάσπεος ποιήσειν ταῦτα, ὡς ἀνέπεισάν μιν οἱ Μάγοι, δεύτερα προσέφερον, αὐ-*

10. *non abire hinc nisi recta via ad Magum.* Zu dem verblosen energischen *ἐπί* vgl. Xen. Hell. II 3 54 *ἐκέλευσε ὁ τῶν τριακοντα τοὺς ἑνδεκα ἐπὶ τὸν Θηραμένην.* (In der überlieferten La. *ἄλλοθι ἰόντας ἢ* ist *ἰόντας* erklärender Zusatz, aber an unrechter Stelle eingefügt und danach *ἀλλ᾽* geändert.)

Bekenntnis und Ende des Prexaspes (c. 74 f.).

74. Diese merkwürdige Gleichzeitigkeit der beiden Ereignisse gehörte wohl nicht der Überlieferung an, sondern dem Streben des Autors die nun folgende Episode in den Zusammenhang der Begebenheiten einzureihen (s. ähnliche Fälle Einleit. p. XXXIII). Es gab offenbar drei Traditionen über die Entlarvung des Magers. Nach einer geschah sie durch Dareios selbst (c. 71 4 ff.), nach einer andern durch Otanes und seine Tochter, nach der dritten durch Prexaspes. Herodot hat alle drei in seiner Darstellung verbunden.

4. S. c. 35.

5. *μοῦνος*: vgl. jedoch c. 61 6.

6 f. *πρός* adverbial wie I 71 12. III 135 12. Häufiger auch bei H. *πρὸς τούτοισι.* — *ἐόντα* st. *διότι ἦν.* Der Partizipialsatz enthält den dritten Grund.

9. *λαβόντες* ‘bindend’, sonst in dieser Verbindung *καταλαμβάνειν*, IX 106 *πίστι τε καταλαβόντες καὶ ὅρκοισι*, Thuk. I 9 *ὅρκοις κατειλημένους.*

10. *μηδενί*, als stände *κατερέειν*; sonst *ἐκφέρειν πρὸς* oder *ἐς τινά* (c. 71 18).

11. *τὰ πάντα μυρία*, ‘alles Mögliche in grofser Fülle’. S. zu IV 88 3. Sonst ohne Artikel; vgl. VI 57 5 u. 17 u. zu III 50 3.

13. *ὡς — Μάγοι* bezieht sich

Digitized by Google

τοὶ μὲν φάμενοι Πέρσας πάντας συγκαλέειν ὑπὸ τὸ βασιλήιον τεῖχος, κεῖνον δ' ἐκέλευον ἀναβάντα ἐπὶ πύργον ἀγορεῦσαι ὡς ὑπὸ τοῦ Κύρου Σμέρδιος ἄρχονται καὶ ὑπ' οὐδενὸς ἄλλου. ταῦτα δὲ οὕτω ἐνετέλλοντο ὡς πιστοτάτου δὴθεν ἐόντος αὐτοῦ ἐν Πέρσησι, καὶ πολλάκις ἀποδεξαμένου γνώμην ὡς περιείη ὁ Κύρου Σμέρδις, καὶ ἐξαρνησαμένου τὸν φόνον αὐτοῦ. φαμένου δὲ **75** καὶ ταῦτα ἑτοίμου εἶναι ποιέειν τοῦ Πρηξάσπεος, συγκαλέσαντες Πέρσας οἱ Μάγοι ἀνεβίβασαν αὐτὸν ἐπὶ πύργον καὶ ἀγορεύειν ἐκέλευον. ὁ δὲ τῶν μὲν ἐκεῖνοι προσεδέοντο αὐτοῦ, τούτων μὲν ἑκὼν ἐπελήθετο, ἀρξάμενος δὲ ἀπ' Ἀχαιμένεος ἐγενεηλόγησε τὴν πατριὴν τὴν Κύρου, μετὰ δὲ ὡς ἐς τοῦτον κατέβη τελευτῶν ἔλεγε ὅσα ἀγαθὰ Κῦρος Πέρσας πεποιήκοι, διεξελθὼν δὲ ταῦτα ἐξέφαινε τὴν ἀληθείην, φάμενος πρότερον μὲν κρύπτειν (οὐ γάρ οἱ εἶναι ἀσφαλὲς λέγειν τὰ γενόμενα), ἐν δὲ τῷ παρεόντι ἀναγκαίην μιν καταλαμβάνειν φαίνειν. καὶ δὴ ἔλεγε τὸν μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀποκτείνειε, τοὺς Μάγους δὲ βασιλεύειν. Πέρσῃσι δὲ πολλὰ ἐπαρησάμενος εἰ μὴ ἀνακτησαίατο ὀπίσω τὴν ἀρχὴν καὶ τοὺς Μάγους τισαίατο, ἀπῆκε ἑωυτὸν ἐπὶ κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. Πρηξάσπης μέν νυν ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος οὕτω ἐτελεύτησε.

auf das folgende *δεύτερα* 'nachdem sie ihn zu dem ersten beredet, machten sie ihm einen zweiten Vorschlag'. Dafs ihnen der erste Versuch gelungen, ermutigte sie zum zweiten.

14 f. *Πέρσας*: zu c. 70 9. — *συγκαλέειν* ist das Futur.

15. *ἐκέλευον*: zu c. 53 25.

16. *ἀγορεῦσαι*: unten c. 75 4 *ἀγορεύειν*, wie VII 50 *παθεῖν* neben *πάσχειν*.

75. 6. *ἐγενεηλόγησε τὴν πατριήν*: vgl. II 143 3. 146 16. Die Reihenfolge der Ahnen s. zu VII 11 8. Ihre Aufzählung benutzt Prexaspes als Mittel, um den Persern die Herstellung der Dynastie der Achämeniden zu empfehlen.

8. Vgl. c. 89 16 ff. 160 3 f.

10. *κρύπτειν*: zum Präsens vgl. VIII 69 12.

11. *φαίνειν, τὴν ἀληθείην*. I 75 *ἔφαινε τὸν ἐόντα λόγον*. Neben *ἐξέφαινε* wie c. 17 7 u. 9.

13. *ἀποκτείνειε*: der Optativ wie c. 71 5. VII 209 2. VIII 93 5. 107 12.

17 f. 'Wie er sein Leblang ein ehrenwerter Mann gewesen, so starb er auch eines ehrenwerten Todes'. — Ktesias Exc. Pers. 13 erwähnt eines ähnlichen Vorfalles,

Digitized by Google

76 *Οἱ δὲ δὴ ἑπτὰ τῶν Περσέων ὡς ἐβουλεύσαντο αὐτίκα ἐπιχειρέειν τοῖσι Μάγοισι καὶ μὴ ὑπερβάλλεσθαι, ἦισαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρηχθέντων εἰδότες οὐδέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ στειχοντες ἐγίνοντο καὶ τὰ περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. ἐνθαῦτα ἐκστάντες τῆς ὁδοῦ ἐδίδοσαν αὖτις σφίσι λόγους, οἱ μὲν ἀμφὶ τὸν Ὀτάνην πάγχυ κελεύοντες ὑπερβαλέσθαι μηδὲ οἰδεόντων τῶν πρηγμάτων ἐπιτίθεσθαι, οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον αὐτίκα τε ἰέναι καὶ τὰ δεδογμένα ποιέειν μηδὲ ὑπερβάλλεσθαι. ὠθιζομένων δ' αὐτῶν ἐφάνη ἱρήκων ἑπτὰ ζεύγεα δύο αἰγυπιῶν ζεύγεα διώκοντα καὶ τίλλοντά τε καὶ ἀμύσσοντα. ἰδόντες δὲ ταῦτα οἱ ἑπτὰ τήν τε Δαρείου πάντες αἴνεον γνώμην καὶ ἔπειτα ἦισαν ἐπὶ τὰ βασιλήια τεθαρσηκότες* **77** *τοῖσι ὄρνισι. ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν τι Δαρείῳ ἡ γνώμη ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύ-*

nennt aber den Verschnittenen Izabates, als welcher allein mit zwei anderen um den Tod des Tanyoxarkes (Smerdis) wufste, und knüpft erst daran die Entlarvung des Magers und die Verschwörung der Sieben, *λαβὼν δὲ τὸ Καμβύσου σῶμα Ἰζαβάτης ἦγεν εἰς Πέρσας. τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ' ὀνόματι τοῦ Ταννοξάρκου, ἦκεν Ἰζαβάτης ἐκ Περσίδος καὶ κατειπὼν τῇ στρατιᾷ πάντα καὶ θριαμβεύσας τὸν μάγον κατέφυγεν εἰς τὸ ἱερὸν ἐκεῖθέν τε συλληφθεὶς ἀπετμήθη. ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν κτλ.*

Sturz des falschen Smerdis und Magermord (c. 76—79).

76. 3. *εὐξάμενοι*: vgl. Dareios in der Inschrift (zu c. 70 9): 'dann rief ich den Auramazda um Hilfe an; Auramazda gewährte mir Beistand'.

4 f. Über die Nebenordnung der beiden Sätze vgl. zu II 93 26.

7. *οἱ ἀμφὶ τὸν Ὀτάνεα*, Otanes mit denen die seine Ansicht teilten.

8. *οἰδεόντων* 'in gährender Aufregung waren', infolge der von Prexaspes gemachten Enthüllungen. *οἰδέειν* (att. *-ᾶν*) eig. 'aufschwellen', bes. von kranken Körperteilen. Ähnliche Metapher bei *φλεγμαίνειν* und lat. *tumere*. Vgl. c. 127 5. VII 39 9 u. zu c. 80 1. — *ἐπιτίθεσθαι*, sc. *τοῖσι Μάγοισι*.

10. *ὠθιζομένων*, näml. *λόγοισι*, 'während sie hin und her stritten'. Vgl. *ὠθισμὸς λόγων* VIII 78. IX 26, und *ὠστίζεσθαι*.

11 f. Dafs die Perser auf Augurien hielten, setzt auch Äschylos Pers. 205 ff. voraus, wo des Xerxes Mutter im Traume einen Adler (als Vogel der Perser) von einem Habicht (*κίρκος*, als Vogel der Hellenen) verfolgt und zerzaust werden sieht.

77. 2. *Δαρείῳ ἡ γνώμη ἔφερε*, 'wie es Dareios sich gedacht, erwartet hatte', sc. *γενήσεσθαι*; s. c. 72 11 ff. Die Redeweise wie hier VIII 100 10; aber IV 11 10. V 118 9. 125 3. VI 110 4 mit dem Genitiv der Person 'der Ansicht sein, raten'.

Digitized by Google

λακοι ἄνδρας τοὺς Περσέων πρώτους καὶ οὐδὲν τοιοῦτο ὑποπτεύοντες ἐξ αὐτῶν ἔσεσθαι, παρίεσαν θείῃ πομπῇ χρεωμένους, οὐδ' ἐπειρώτα οὐδείς. ἐπείτε δὲ καὶ παρῆλθον ἐς τὴν αὐλήν, ἐνέκυρσαν τοῖσι τὰς ἀγγελίας ἐσφέρουσι εὐνούχοισι· οἱ σφεας ἱστόρεον ὅ τι θέλοντες ἥκοιεν, καὶ ἅμα ἱστορέοντες τούτους τοῖσι πυλουροῖσι ἀπείλεον ὅτι σφέας παρῆκαν, ἰσχόν τε βουλομένους τοὺς ἑπτὰ ἐς τὸ πρόσω παριέναι. οἱ δὲ διακελευσάμενοι καὶ σπασάμενοι τὰ ἐγχειρίδια τούτους μὲν τοὺς ἴσχοντας αὐτοῦ ταύτῃ συγκεντέουσι, αὐτοὶ δὲ ἤισαν δρόμῳ ἐς τὸν ἀνδρεῶνα. οἱ δὲ Μάγοι ἔτυχον ἀμφότεροι τηνικαῦτα 78
ἐόντες τε ἔσω καὶ τὰ ἀπὸ Πρηξάσπεος γενόμενα ἐν βουλῇ ἔχοντες. ἐπεὶ ὦν εἶδον τοὺς εὐνούχους τεθορυβημένους τε καὶ βοῶντας, ἀνά τε ἔδραμον πάλιν ἀμφότεροι καὶ ὡς ἔμαθον τὸ ποιεύμενον πρὸς ἀλκὴν ἐτράποντο. ὁ μὲν δὴ αὐτῶν φθάνει τὰ τόξα κατελόμενος, ὁ δὲ πρὸς τὴν αἰχμὴν ἐτράπετο. ἐνθαῦτα δὴ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ τὰ τόξα ἀναλαβόντι αὐτῶν, ἐόντων τε ἀγχοῦ τῶν πολεμίων καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν· ὁ δ' ἕτερος τῇ αἰχμῇ ἠμύνετο καὶ τοῦτο μὲν Ἀσπαθίνην παίει ἐς τὸν μηρόν, τοῦτο δὲ Ἰνταφρένεα ἐς τὸν ὀφθαλμόν· καὶ ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφρένης, οὐ μέντοι ἀπέθανέ

Vgl. IX 120 *τοῦ στρατηγοῦ ταύτῃ νόος ἔφερε.*

4f. *θείῃ πομπῇ χρεωμένους* 'durch göttliche Fügung' (I 62 15).

6f. *τοῖσι — ἐσφέρουσι*, den *ἀγγεληφόροισι* od. *ἐσαγγελεῦσι*; zu I 114 9. — *εὐνούχοισι*: über ihren Dienst s. VIII 105. Esther 1 10 werden 'sieben Hämmlinge' aufgezählt, 'die vor dem Könige Ahasveros dienten'.

10. *διακελευσάμενοι*: zu I 1 22.

78. 2. *ἀπό*: zu V 2 1.

4. *ἀνέδραμον πάλιν* 'liefen wieder zurück', näml. in das Gemach, das sie, wie in *ἐπεὶ ὦν εἶδον* angedeutet ist, verlassen hatten. Über die Abundanz von *πάλιν* vgl. zu c. 16 4, II. *ε* 599 *ἀνὰ τ' ἔδραμ' ὀπίσσω*; hier könnte es sogar nicht entbehrt werden zur Unterscheidung von der anderen Bedeutung des Verbs 'aufspringen' (c. 36 21. VII 15 1. 212 3. 218 5).

5. *τὸ ποιεύμενον* 'was vorging' (IX 22 14. 110 2).

6. *τὰ τόξα* 'das Schiefszeug', Bogen und Köcher, die neben der *αἰχμή* die stehenden Waffen des Persers sind (VII 60) und sich, nach hellenischer Vorstellung, im *ἀνδρεῶν* befinden (vgl. I 34 15).

10. *χρηστά* = *χρήσιμα*, 'brauchbar' (VII 215 8).

Digitized by Google

γε. τῶν μὲν δὴ Μάγων οὗτερος τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπείτε οἱ τὰ τόξα οὐδὲν χρηστὰ ἐγίνετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀνδρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ προσθεῖναι τὰς θύρας, καὶ οἱ συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δαρεῖός τε καὶ Γοβρύης. συμπλακέντος δὲ Γοβρύεω τῷ Μάγῳ ὁ Δαρεῖος ἐπεστεὼς ἠπόρεε οἷα ἐν σκότεϊ, προμηθεόμενος μὴ πλήξῃ τὸν Γοβρύην. ὁρέων δέ μιν ἀργὸν ἐπεστεῶτα ὁ Γοβρύης εἴρετο ὅ τι οὐ χρᾶται τῇ χειρί· ὁ δὲ εἶπε „προμηθεόμενος σέο, μὴ πλήξω.“ Γοβρύης δὲ ἀμείβετο „ὦθεε τὸ ξίφος καὶ δι᾽ ἀμφοτέρων.“ Δαρεῖος δὲ πειθόμενος ὥσέ τε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ Μά-
79 γου. ἀποκτείναντες δὲ τοὺς Μάγους καὶ ἀποταμόντες αὐτῶν τὰς κεφαλάς, τοὺς μὲν τρωματίας ἑωυτῶν αὐτοῦ λείπουσι καὶ ἀδυνασίης εἵνεκεν καὶ φυλακῆς τῆς ἀκροπόλιος, οἱ δὲ πέντε αὐτῶν ἔχοντες τῶν Μάγων τὰς κεφαλὰς ἔθεον ἔξω βοῇ τε καὶ πατάγῳ χρεώμενοι καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο, ἐξηγεόμενοί τε τὸ πρῆγμα καὶ δεικνύοντες τὰς κεφαλάς, καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν Μάγων τὸν ἐν ποσὶ γινόμενον. οἱ δὲ

24. *καὶ δι᾽ ἀμφοτέρων* ‘durch beide’ (I 74 15). — *κως, forte.* S. zu V 41 5. — Bei Äschylos und Ktesias finden sich zum Teil abweichende Darstellungen des Magermordes. Jener Pers. 765 *πέμπτος δὲ Μάρδος* (= *Σμέρδις*) *ἦρξεν, αἰσχύνῃ πάτρᾳ Θρόνοισιτ ἀρχαίοισι· τὸν δὲ σὺν δόλῳ Ἀρτραφένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις, Φρένες γὰρ ὑπατοῦ θυμὸν οἰακοστρόφουν, Ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ᾽ ἦν χρέος.* Dieser Exc. Pers. 14 *ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν* (vgl. zu c. 75 17) *ἐπίσημοι συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νορονδαβάτης, Μαρδόνιος, Βαρίσσης, Ἀταφέρνης καὶ Λαρεῖος Ὑστάσπεω. τούτων ἀλλήλοις πίστεις δόντων προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας καὶ εἶτα ὁ Βαγαπάτης* (die nebst Izabates um den Tod des Smerdis gewufst hatten), *ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. ὡς δὲ εἶδεν, ἀνεπήδησε, καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων, πάντα γὰρ ὁ Βαγαπάτης λάθρᾳ ὑπεξήγαγε, δίφρον χρύσεον συντρίψας καὶ λαβὼν τὸν πόδα ἐμάχετο, καὶ τέλος κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά.*

79. 3. *ἀδυνασίη* = *ἀδυναμίη* (VIII 111 17), ‘Schwäche, Entkräftung’; noch VII 172 17. Vgl. VI 16 *ἀδύνατοι ἦσαν αἱ νέες ὑπὸ τρωμάτων.* — *ἀκροπόλιος*: zu c. 68 7.

5. *βοῇ τε καὶ πατάγῳ*, auch VII 211 13 verbunden: vgl. VIII 37 *βοή τε καὶ ἀλαλαγμός.*

Digitized by Google

Πέρσαι μαθόντες τὸ γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν Μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα 10
ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ Μάγον εὑρίσκοιεν· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα Μάγον. ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων, καὶ ἐν αὐτῇ ὁρτὴν με-
γάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια· 15
ἐν τῇ Μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ᾽ οἴκους ἑωυτοὺς οἱ Μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.
Ἐπείτε δὲ κατέστη ὁ θόρυβος καὶ ἐκτὸς πέντε ἡμε- 80
ρέων ἐγένετο, ἐβουλεύοντο οἱ ἐπαναστάντες τοῖσι Μάγοισι περὶ τῶν πάντων πρηγμάτων, καὶ ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ᾽ ὦν.

10. *ἕτερα τοιαῦτα*: der Plural wie I 120 34.

13. *θεραπεύουσι*, *colunt*, *celebrant*, wie man sagte *νηόν*, *ἱρὰ θεραπεύειν*; vgl. I 133 *ἡμέρην τιμᾶν*, II 62 *φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη*. Ovid. fast. VI 179 *caesa sue festa colebant.*

Beratung der Sieben. List des Ôbares. Dareios wird Kŏnig (c. 80—87).

80. *κατιστασθαι* (*καταστῆναι*) sich legen, beruhigen', *subsidere*, *recidere*, bes. häufig bei Hippokrates (z. B. *οἴδημα κατίστατai*). Die Metapher entspricht genau der obigen *τῶν πρηγμάτων οἰδεόντων* (c. 76 8). Lysias in Agor. 25 *ἕως τὰ πράγματα κατασταίη*. — *καὶ ἐκτὸς ἐγένετο* 'und da sie (die Unruhe) über den Zeitraum von fünf Tagen hinaus war', d. h. 'da mehr als fünf Tage seitdem verflossen waren'. Das Eigentümliche des Ausdrucks liegt, abgesehen von dem temporalen Gebrauche des *ἐκτός*, darin daſs der einmal stattgehabten Unruhe eine dauernde Existenz beigelegt wird. Über Ähnliches zu I 6 12. (Andere nehmen *ἐγένετο* impersonal, wie VIII 6 2. 107 5.) — Übrigens ist die Zahl der Tage nicht ohne Bedeutung. Sext. Emp. adv. Rhet. 33 *ἐντεῦθεν καὶ οἱ Περσῶν χαριέντες* (*nobiles*) *νόμον ἔχουσι*, *βασιλέως παρ᾽ αὐτοῖς τελευτήσαντος πέντε τὰς ἐφεξῆς ἡμέρας ἀνομίαν ἄγειν*, *οὐχ ὑπὲρ τοῦ δυστυχεῖν ἀλλ᾽ ὑπὲρ τοῦ ἔργῳ μαθεῖν ἡλίκον κακόν ἐστιν ἡ ἀνομία.*

4. *δ᾽ ὦν* hier nachdrücklicher als sonst, = *δ᾽ ὅμως*, *οὐδὲν ἧσσον*, trotz allem Widerspruche. Vgl. c. 46 9. IV 5 6. V 50 9. VI 82 5. — Die Zweifel mochten sich äuſsern, als der Vf. diesen Teil des Werkes, den *Περσικὸς λόγος*, in Athen oder anderswo vorlas (vgl. Einl. S. XXII). VI 43 kommt er noch einmal darauf zurück: *ἐνθαῦτα μέγιστον θῶμα ἐρέω τοῖσι μὴ ἀποδεκομένοισι Ἑλλήνων*, *Περσέων τοῖσι ἑπτὰ Ὀτάνεα γνώμην ἀποδέξασθαι ὡς χρεὸν εἴη δημοκρατέεσθαι Πέρσας· τοὺς γὰρ τυράννους τῶν Ἰώνων καταπαύσας πάντας ὁ Μαρδόνιος κτλ.*: wonach sich die Zweifel mehr auf den Inhalt, besonders der ersten Rede, als auf die Thatsache der Diskussion bezogen hätten. Den Hellenen mochte es unglaublich scheinen, daſs ein persischer Magnat sich für eine demo-

Digitized by Google

Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε. „ἐμοὶ δοκέει ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ οὔτε ἀγαθόν. εἴδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον ἐπεξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. κῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον

kratische Verfassung erklären könne. Vgl. zu c. 82 25.

5. 'Die Herrschaft der Gesamtheit der Perser zu übergeben'. VII 64 vom Tyrannen Kadmos *ἐς μέσον Κάῳοισι καταθεὶς τὴν ἀρχήν*, III 142 16. IV 161 15.

6. *ἕνα μέν*, Gegens. 26 *πλῆθος δέ*.

7. *ἡδύ*, für uns, nach den gemachten bitteren Erfahrungen; *ἀγαθόν*, im allgemeinen, an sich. Jenes wird durch *εἴδετε μὲν γὰρ . . .*, dieses 10 *κῶς δ' ἂν εἴη . .* erörtert.

9. *μετεσχήκατε — ὕβριος*, 'von dem Übermut des Magers habt ihr auch zu leiden gehabt'. Vgl. jedoch c. 67 5. Anders beurteilt ihn freilich Dareios in seiner Inschrift (zu c. 70 1).

10 f. *κατηρτημένον = κατηρτισμένον* 'wohl eingerichtet, geordnet' (Ggs. 22 *ἀναρμοστότατον*), wie IX 66 10 *ἦγε κατηρτημένος*, von dem ion. *ἀρτέεσθαι = παρασκευάζεσθαι* (V 120 5. VII 143 16. VIII 97 8; vgl. *ἀνηρτῆσθαι* I 90 5. VI 88 7. VII 8 *γ* 2, *παραρτέεσθαι* VII 20 2. u. s.). — *μουναρχίη*, der tyrannischen, welche hier überhaupt gemeint ist, deren wesentliche Eigenschaft nach hellenischem Begriffe darin bestand, dafs sie unverantwortlich (*ἀνεύθυνος*, gewöhnlicher *ἀνυπεύθυνος*) war.

12 f. *ἐκτὸς — στήσειε*: vgl. zu c. 155 13. Subjekt ist *μουναρχίη* —. *ὕβρις*: vgl. Soph. O. T. 873 *ὕβρις φυτεύει τύραννον*.

16 f. *τὰ μὲν — τὰ δέ* adverbial. — Die *ὕβρις* (*superbia*), welche sich über die Schranken des Rechtes und der Sitte wegsetzt, der persönlichen Willkür und Eigensucht jede Rücksicht auf andere opfert, entspringt aus dem *κόρος* (*fastidium*), der Übersättigung an allen Gütern des Glückes und geringschätzigen Verachtung aller minder Begünstigten. Deshalb gilt der *κόρος* als Vater der *ὕβρις* (s. zu VIII 77 8); und dies Verhältnis wird hier durch den Zusatz von *κεκορημένος* angedeutet, 'aus Frevelmut, indem er übersättigt ist', während oben Z. 13 in den Worten *ἐγγίνεται — ἀγαθῶν* die Mittelstufe des *κόρος* übergangen war. — *καί*: sonst verbindet H. *πολλός* mit einem folgenden Adjektiv durch *τε καί*. Weil aber der Gebrauch dieser Doppelkonjunktion mit der Zeit seltener und willkürlicher ward, so ist *τε* in den Hss. oft ausgelassen. Vgl. zu V 2 6. 55 5.

Digitized by Google

ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρμοστότατον δὲ πάντων· ἢν τε γὰρ αὐτὸν μετρίως θωμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἢν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινέει πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πά-

18. *ἄφθονος* aktivisch, 'neidlos'.

19 f. *τούτου*, sc. *τοῦ ἄφθονος εἶναι*, also *φθονερός*. — *πέφυκε*: Subjekt ist der *ἀνὴρ τύραννος*. Doch schrieb H. wohl *ὃ δὲ τὸ ὑπ.*, wie VII 153 20. — *φθονέει τοῖσι ἀρίστοισι*: ein Beispiel s. V 92*η*. Sallust. Cat. 7 *regibus boni quam mali suspectiores sunt semperque iis aliena virtus formidolosa est.* — *ἀρίστοισι* im politischen Sinne = *εὐγενεστάτοισι*; entsprechend *κακίστοισι* = *ἀγενεστάτοισι*. — *περιεοῦσι* wird durch *ζώουσι* noch verstärkt (vgl. I 120 7), *vivis ac salvis*. Od. *ω* 263 *ἥ που ζώει τε καὶ ἔστιν*. Demosth. pro cor. 72 *ζώντων καὶ ὄντων Ἀθηναίων*. Soph. Ant. 1278 *ἔχων τε καὶ κεκτημένος*.

21. *ἄριστος* 'ist am tauglichsten, versteht am besten'.

22. *ἀναρμοστότατον*, sc. *τύραννος*. Das Neutrum hier als Prädikat einer Person, wie Eurip. Med. 1095 *εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν Παῖδες τελέθουσι*. — *ἀνάρμοστος* 'nicht passend', eig. von Dingen (z. B. *θώρηξ*, *χλαμύς*, Xen. Mem. III 10 9), Albertr. 'ungefüg', dem man es nicht recht machen kann. Vgl. die Charakteristik Eurip. Med. 119 ff. *δεινὰ τυράννων λήματα καὶ πως Ὀλίγ' ἀκούμενοι πολλὰ κρατοῦντες Χαλεπὰ δ' ὀργὰς μεταβάλλουσιν.*

24. *ἅτε*, *tanquam* (I 123 19). — *θώψ* (von *θαF* 'anstaunen', vgl. zu I 10 5) erklärt Timaeos lex. Plat. *ὁ μετὰ ψεύδους καὶ θαυμασμοῦ τινι προσιὼν ἐπὶ κολακείᾳ.*

25. *ἔρχομαι ἐρέων* würde besser fehlen. — *κινέει* = *λύει* (c. 82 30); vgl. zu I 183 18. Die Gesetze, zumal die alten und auf Herkommen ruhenden (*πάτρια*), sind heilig und unantastbar.

26. *ἀκρίτους*, sc. *ἀνθρώπους*. — *πλῆθος ἄρχον*, die Demokratie; vgl. c. 82 5.

27. *πρῶτα μὲν οὔνομα*: ähnlich Eurip. Med. 125 *τῶν γὰρ μετρίων* (*aequitatis*), *πρῶτα μὲν εἰπεῖν*, *Τοὔνομα νικᾷ*. — *ἰσονομίη* (von *ἰσόνομος*) 'gleichverteilt', der Zustand politischer Freiheit und Gleichheit, in Ggs. zur *μουναρχίη* (*τυραννίς*) und *ὀλιγαρχίη* (c. 142 15. V 37 8). Vgl. *ἰσοκρατίη* (V 92*α* 4) u. *ἰσηγορίη* (V 78 2), aus welcher Stelle zugleich erhellt dafs des Vf.'s Gesinnung dieser Staatsform zuneigte. Im Skolion auf Harmodios und Aristogeiton heifst es *ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην*.

28. Verb. *τούτων οὐδὲν ποιέει*. Zur Doppelbeziehung des Verbs vgl. VII 86 *Μῆδοι δὲ τὴν περ ἐν τῷ πεζῷ εἶχον σκευήν*, 190 *νέας οἱ ἐλαχίστας λέγουσι διαφθαρῆναι τε-*

Digitized by Google

Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε. „ἐμοὶ δοκέει ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ οὔτε ἀγαθόν. εἴδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον ἐπεξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. κῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον

kratische Verfassung erklären könne. Vgl. zu c. 82 25.

5. 'Die Herrschaft der Gesamtheit der Perser zu übergeben'. VII 64 vom Tyrannen Kadmos *ἐς μέσον Καδμείοισι καταθεὶς τὴν ἀρχήν*, III 142 16. IV 161 15.

6. *ἕνα μέν*, Gegens. 26 *πλῆθος δέ*.

7. *ἡδύ*, für uns, nach den gemachten bitteren Erfahrungen; *ἀγαθόν*, im allgemeinen, an sich. Jenes wird durch *εἴδετε μὲν γὰρ . .*, dieses 10 *κῶς δ' ἂν εἴη . .* erörtert.

9. *μετεσχήκατε — ὕβριος*, 'von dem Übermut des Magers habt ihr auch zu leiden gehabt'. Vgl. jedoch c. 67 5. Anders beurteilt ihn freilich Dareios in seiner Inschrift (zu c. 70 1).

10 f. *κατηρτημένον = κατηρτισμένον* 'wohl eingerichtet, geordnet' (Ggs. 22 *ἀναρμοστότατον*), wie IX 66 10 *ἦγε κατηρτημένος*, von dem ion. *ἀρτέεσθαι = παρασκευάζεσθαι* (V 120 5. VII 143 16. VIII 97 8; vgl. *ἀνηρτῆσθαι* I 90 5. VI 88 7. VII 8 *γ* 2, *παραρτέεσθαι* VII 20 2. u. s.). — *μουναρχίη*, der tyrannischen, welche hier überhaupt gemeint ist, deren wesentliche Eigenschaft nach hellenischem Begriffe darin bestand, daſs sie unverantwortlich (*ἀνεύθυνος*, gewöhnlicher *ἀνυπεύθυνος*) war.

12 f. *ἐκτὸς — στήσειε*: vgl. zu c. 155 13. Subjekt ist *μουναρχίη —*. *ὕβρις*: vgl. Soph. O. T. 873 *ὕβρις φυτεύει τύραννον*.

16 f. *τὰ μὲν — τὰ δέ* adverbial. — Die *ὕβρις* (*superbia*), welche sich über die Schranken des Rechtes und der Sitte wegsetzt, der persönlichen Willkür und Eigensucht jede Rücksicht auf andere opfert, entspringt aus dem *κόρος* (*fastidium*), der Übersättigung an allen Gütern des Glückes und geringschätzigen Verachtung aller minder Begünstigten. Deshalb gilt der *κόρος* als Vater der *ὕβρις* (s. zu VIII 77 8); und dies Verhältnis wird hier durch den Zusatz von *κεκορημένος* angedeutet, 'aus Frevelmut, indem er übersättigt ist', während oben Z. 13 in den Worten *ἐγγίνεται — ἀγαθῶν* die Mittelstufe des *κόρος* übergangen war. — *καί*: sonst verbindet H. *πολλός* mit einem folgenden Adjektiv durch *τε καί*. Weil aber der Gebrauch dieser Doppelkonjunktion mit der Zeit seltener und willkürlicher ward, so ist *τε* in den Hss. oft ausgelassen. Vgl. zu V 2 6. 55 5.

Digitized by Google

ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δὲ ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρμοστότατον δὲ πάντων· ἢν τε γὰρ αὐτὸν μετρίως θωμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἢν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινέει πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος ποιέει οὐδέν· πά-

18. *ἄφθονος* aktivisch, 'neidlos'.

19 f. *τούτου*, sc. *τοῦ ἄφθονος εἶναι*, also *φθονερός*. — *πέφυκε*: Subjekt ist der *ἀνήρ τύραννος*. Doch schrieb H. wohl *ὁ δὲ τὸ ὑπ.*, wie VII 153 20. — *φθονέει τοῖσι ἀρίστοισι*: ein Beispiel s. V 92*η*. Sallust. Cat. 7 *regibus boni quam mali suspectiores sunt semperque iis aliena virtus formidolosa est.* — *ἀρίστοισι* im politischen Sinne = *εὐγενεστάτοισι*; entsprechend *κακίστοισι* = *ἀγενεστάτοισι*. — *περιεοῦσι* wird durch *ζώουσι* noch verstärkt (vgl. I 120 7), *vivis ac salvis*. Od. *ω* 263 *ἤ που ζώει τε καὶ ἔστιν*. Demosth. pro cor. 72 *ζώντων καὶ ὄντων Ἀθηναίων*. Soph. Ant. 1278 *ἔχων τε καὶ κεκτημένος*.

21. *ἄριστος* 'ist am tauglichsten, versteht am besten'.

22. *ἀναρμοστότατον*, sc. *τύραννος*. Das Neutrum hier als Prädikat einer Person, wie Eurip. Med. 1095 *εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν Παῖδες τελέθουσι*. — *ἀνάρμοστος* 'nicht passend', eig. von Dingen (z. B. *θώρηξ*, *χλαμύς*, Xen. Mem. III 10 9), übertr. 'ungefüg', dem man es nicht recht machen kann. Vgl. die Charakteristik Eurip. Med. 119 ff. *δεινὰ τυράννων λήματα καί πως Ὀλίγ' ἀρχόμενοι πολλὰ κρατοῦντες Χαλεπῶς ὀργὰς μεταβάλλουσιν.*

24. *ἅτε*, *tanquam* (I 123 19). — *θώψ* (von *θαF* 'anstaunen', vgl. zu I 10 5) erklärt Timaeos lex. Plat. *ὁ μετὰ ψεύδους καὶ θαυμασμοῦ τινι προσιὼν ἐπὶ κολακείᾳ.*

25. *ἔρχομαι ἐρέων* würde besser fehlen. — *κινέει* = *λύει* (c. 82 30); vgl. zu I 183 18. Die Gesetze, zumal die alten und auf Herkommen ruhenden (*πάτρια*), sind heilig und unantastbar.

26. *ἀκρίτους*, sc. *ἀνθρώπους*. — *πλῆθος ἄρχον*, die Demokratie; vgl. c. 82 5.

27. *πρῶτα μὲν οὔνομα*: ähnlich Eurip. Med. 125 *τῶν γὰρ μετρίων* (*aequitatis*), *πρῶτα μὲν εἰπεῖν, Τοὔνομα νικᾷ*. — *ἰσονομίη* (von *ἰσόνομος*) 'gleichverteilt', der Zustand politischer Freiheit und Gleichheit, in Ggs. zur *μουναρχίη* (*τυραννίς*) und *ὀλιγαρχίη* (c. 142 15. V 37 8). Vgl. *ἰσοκρατίη* (V 92*α* 4) u. *ἰσηγορίη* (V 78 2), aus welcher Stelle zugleich erhellt daſs des Vf.'s Gesinnung dieser Staatsform zuneigte. Im Skolion auf Harmodios und Aristogeiton heiſst es *ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.*

28. Verb. *τούτων οὐδὲν ποιέει*. Zur Doppelbeziehung des Verbs vgl. VII 86 *Μῆδοι δὲ τήν περ ἐν τῷ πεζῷ εἶχον σκευήν*, 190 *νέας οἱ ἐλαχίστας λέγουσι διαφθαρῆναι τε-*

Digitized by Google

λῳ μὲν [ἀρχὰς] ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην μετέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα."

81 Ὀτάνης μὲν δὴ ταύτην γνώμην ἐσέφερε· Μεγάβυζος δὲ ὀλιγαρχίῃ ἐκέλευε ἐπιτράπειν, λέγων τάδε. „τὰ μὲν Ὀτάνης εἶπε τυραννίδα παύων, λελέχθω κἀμοὶ ταῦτα, τὰ δ' ἐς τὸ πλῆθος ἄνωγε φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρτηκε· δμίλου γὰρ ἀχρηίου οὐδέν ἐστι ἀξυνετώτερον οὐκ ἐλάσσονας. Vgl. zu I 137 4. — Vor πάλῳ scheint ἀλλὰ zu fehlen.

29 f. πάλῳ = κλήρῳ (c. 83 6), wie πάλλεσθαι c. 128 4 = κληροῦν (I 94 24). Zur Sache Arist. Rhet. I 8 ἔστι δὲ δημοκρατία μὲν πολιτεία ἐν ᾗ κλήρῳ διανέμονται τὰς ἀρχάς. — Zu ἄρχει, wie zu ἔχει u. ἀναφέρει das Subjekt πλῆθος zu konstruieren, da doch die Beamten und Beamtenkollegien, nicht die Gesamtheit, regieren, durfte sich H. erlauben, weil in der Demokratie der Beamte nur Repräsentant der Gesamtheit ist und bei dem regelmäfsigen Wechsel nach und nach alle Glieder der Gemeinde in die Regierung kommen können. Arist. Polit. II 2 ἅμα γὰρ οὐχ οἷόν τε πάντας ἄρχειν ἀλλ' ἢ κατ' ἐνιαυτὸν ἢ κατά τινα ἄλλην τάξιν ἢ χρόνον. καὶ συμβαίνει δὲ τὸν τρόπον τοῦτον ὥστε πάντας ἄρχειν. — ὑπεύθυνον: 'Es liegt im Wesen der Demokratie, dafs jede Behörde verantwortlich sei; unter den unterscheidenden Merkmalen einer demokratischen Behörde ist die Verantwortlichkeit keine der geringsten', *Boeckh* Staatsh. d. Ath. I 263. Arist. Polit. II 12 τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν. — ἀρχὴν ἔχει nimmt ἄρχει auf. Die Regierung wird durchs Los bestellt, ist verantwortlich, und unternimmt nichts ohne Vorwissen und Genehmigung (ἀναφέρει, c. 71 20) der Gemeinde. (Wäre ἀρχάς echt, so müfste es den Artikel haben, und es müfste folgen ὑπευθύνους δὲ ἔχει.)

31. ἀέξειν 'erhöhen, zur Macht bringen'. Dafür c. 81 4 ἐς τὸ πλῆθος φέρειν τὸ κράτος. Eurip. Fr. 364 28 καὶ τοὺς πονηροὺς μήποτ' αὔξαν' ἐν πόλει, Theognis 823 μήτε τιν' αὔξε τύραννον. Vgl. VI 132 3. VIII 30 5. IX 31 26.

32. Nach dem persischen Grundsatze τὸ πολλὸν ἰσχυρὸν εἶναι (I 135 5). Zum Ausdruck vgl. I 122 12. III 157 21. VII 156 4.

81. γνώμην, appositiv; so dies Wort I 170 11. III 82 1. 83 1. 160 5. IV 31 4 u. s. Vgl. zu I 120 1. II 116 1.

2. ἐπιτράπειν, sc. τὴν ἀρχήν od. τὰ πρήγματα (VI 26 5), um die es sich handelt; vgl. zu c. 130 8. Theognis 947 πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ Τρέψας οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

3 f. τὰ δ', als folgte nicht ἄνωγε sondern, wie vorher εἶπε παύων, so hier εἶπε ἀνώγων.

5 f. δμίλος ἀχρήιος, *inutile vulgus* (Iuven. XV 126). Vgl. auch Hesiod. ἔργ. 296 ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων Ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήιος ἀνήρ. — ἀξυνετώτερον: daher mahnt der adelstolze Theognis 847 λᾶξ ἐπίβα δήμῳ κενεόφρονι. Vgl. VII 156 Gelon von Syrakus νομίσας δῆμον

Digitized by Google

τερον οὐδὲ ὑβριστότερον. καίτοι τυράννου ὕβριν φεύγοντας ἄνδρας ἐς δήμου ἀκολάστου ὕβριν πεσεῖν ἐστὶ οὐδαμῶς ἀνασχετόν. δ μὲν γὰρ εἴ τι ποιέει, γινώσκων ποιέει, τῷ δὲ οὐδὲ γινώσκειν ἔνι· κῶς γὰρ ἂν γινώσκοι; ὃς οὔτ' ἐδιδάχθη οὔτε εἶδε καλὸν οὐδὲν [οὐδ'] οἰκήιον, ὠθέει τε ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ ποταμῷ εἴκελος. δήμῳ μέν νυν, οἳ Πέρσῃσι κακὸν νοέουσι, οὗτοι χράσθων, ἡμεῖς δὲ ἀνδρῶν τῶν ἀρίστων ἐπιλέξαντες ὁμιλίην τούτοισι περιθέωμεν τὸ κράτος· ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα· ἀρίστων δὲ ἀνδρῶν οἰκὸς ἄριστα βουλεύματα γίνεσθαι."

Μεγάβυζος μὲν δὴ ταύτην γνώμην ἐσέφερε· τρίτος δὲ **82** Δαρεῖος ἀπεδείκνυτο γνώμην, λέγων „ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆθος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δὲ ἐς ὀλιγαρχίην οὐκ ὀρθῶς. τριῶν γὰρ προκειμένων καὶ πάντων τῷ λόγῳ ἀρίστων ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου, πολλῷ τοῦτο προέχειν λέγω.

εἶναι συνοίκημα ἀχαριτώτατον. Demokritos bei Stob. Flor. 45 27 χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος.

9 ff. 'Der weder irgend Gutes gelernt noch erfahren aus eigenem Vermögen', *qui nec didicerit quicquam honesti neque noverit suo ingenio.* Vgl. I 191 1. Od. γ 26 ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις, ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται. Soph. O. T. 704 αὐτὸς ξυνειδὼς ἢ μαθὼν ἄλλου πάρα. Eurip. Med. 139 μὴ μαθοῦσαν οἶκοθεν. Xen. Hell. V 4 31 ἢ αὐτὸς νοήσας ἢ διδαχθεὶς ὑπό του εἶπεν. Thuk. I 138 οἰκεία ξυνέσει καὶ οὔτε προμαθὼν ἐς αὐτὴν οὐδὲν οὔτ' ἐπιμαθών. Her. VII 10 γ οὐδεμιῇ σοφίῃ οἰκηίῃ αὐτὸς ταῦτα συμβάλλομαι. — ὠθέει, *praecipitat*, wie ein hereinbrechender (ἐμπεσών) Strom; nach Il. ν 138 (ὁλοοίτροχος) ὃν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὄσῃ, φ 241 ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος. Ähnliche Metapher VI 109 23.

13. τῶν ἀρίστων: zu c. 80 20.

14. ὁμιλίην 'Genossenschaft'. Das in diesem Sinne häufigere ἑταιρηίη (V 71 3) hat den Nebenbegriff 'Partei'. — περιθέωμεν: zu I 129 12.

15 f. Theognis 1025 δειλοί τοι κακότητι μαλακώτεροι νόον εἰσίν, Τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

82. 2. Von dem opponierenden δέ im Anfange der Rede zu VIII 68 α 4.

4 f. 'Denn da drei Regierungen zur Wahl vorliegen, und angenommen, dafs sie alle (in ihrer Art) die besten seien'. Durch diese Annahme (τῷ λόγῳ) läfst H. den Redner die gegen die Monarchie gemachten Einwürfe (c. 80) umgehen, die sich vornehmlich auf die unausbleibliche Überhebung und Entsittlichung des Alleinherrschers bezogen.

6. τοῦτο, das letzte, ἡ μουναρχίη; vgl. 16 u. 28.

Digitized by Google

ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρεώμενος ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῇτό τε ἂν βουλεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστα. ἐν δὲ ὀλιγαρχίῃ πολλοῖσι ἀρετὴν ἐπασκέουσι ἐς τὸ κοινὸν ἔχθεα ἴδια ἰσχυρὰ φιλέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος κορυφαῖος εἶναι γνώμῃσί τε νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλήλοισι ἀπικνέονται, ἐξ ὧν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην, καὶ ἐν τούτῳ διέδεξε ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ ἄρχοντος ἀδύνατα μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος τοίνυν ἐγγινομένης ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγίνεται τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ κοινὰ συγκύψαντες ποιεῦσι. τοῦτο δὲ τοι-

7. *ἀνδρὸς ἑνός* = *μουνάρχου*. — *τοῦ ἀρίστου, eius quidem qui optimus sit.* So der Artikel VII 5 *δένδρεα παντοῖα φέρει τὰ ἥμερα*, IX 16 *τούτων πάντων ὄψεαι ὀλίγους τινὰς τοὺς περιγενομένους*. — Es war unter dieser ideellen Voraussetzung dafs auch spätere Politiker (Aristoteles) die *βασιλεία* für die beste Staatsform erklärten. Eurip. Fr. 8 *ἀνδρὸς ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν*.

8. *τοιαύτῃ*, nāml. *ἀρίστῃ*, wie sie dem *ἄριστος μούναρχος* zukommt.

11. *ἀρετή* ist die persönliche, bürgerliche und kriegerische Tüchtigkeit, die *καλοκἀγαθία*, die den echten Aristokraten kennzeichnet (Arist. Pol. IV 8 *ἀριστοκρατίας μὲν γὰρ ὅρος ἀρετή*). Zum Ausdruck vgl. Phokylides Fr. 10 *δίζησθαι βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος ἄσκειν*, Äschyl. Prom. 1065 *πῶς με κελεύεις κακότητ' ἀσκεῖν*; V 96 *δικαιοσύνην*, VII 209 *ἀληθείην*, u. s. — *ἐς τὸ κοινόν* 'zum Besten des Gemeinwesens'.

12. *αὐτὸς ἕκαστος* 'jeder selbst, für seine Person', VII 19 *ἐθέλων αὐτὸς ἕκαστος τὰ προκείμενα δῶρα λαβεῖν*, III 128 2. VIII 10 14. 123 7.

15. *ἀπέβη*, impersonal, 'es pflegt hinauszulaufen'. Vgl. zu c. 71 3. Der Aorist ist der s. g. gnomische (besser: empirische). Bei H. noch I 132 13 und in den zu I 194 20 besprochenen Fällen. — Zum Gedanken vgl. Theognis 47 *ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμιεῖσθαι...*, *Ἐδτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται ... Ἐκ τῶν γὰρ στάσιές τε καὶ ἔμφυλοι φόνοι ἀνδρῶν. Μούναρχος δὲ πόλει μή ποτε τῇδε ἅδοι*.

16. *διέδεξε*, impersonal (II 134 16).

17. *κακότητα*, Gegensatz zu der in der Aristokratie gepflegten *ἀρετή* (12).

18. *ἐς τὰ κοινά*, parallel zu *ἐς τὸ κοινόν* (12), in bezug auf das Gemeinwesen (20 *κακοῦντες τὰ κοινά*).

19. *φιλίαι δὲ ἰσχυραί*, ironischer Gegensatz, wie I 59 29.

20. *συγκύπτειν*, populäres Wort; noch VII 145 *εἴ κως ἓν τε γένοιτο τὸ Ἑλληνικὸν καὶ εἰ συγκύψαντες τωὐτὸ πρήσσοιεν πάντες*. Aristoph. Ritt. 854 von einem *στῖφος βυρσοπωλῶν* und anderem Krämervolk *τοῦτο δ' εἰς ἓν ἐστὶ συγκεκυφός*, wozu der Scholiast *συνελθόν*,

Digitized by Google

οὗτο γίνεται ἐς ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ αὐτῶν θωμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωμαζόμενος δὲ ἀν' ὧν ἐφάνη μούναρχος, καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δὲ ἔπεῖ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ τοῦ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διὰ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν, χωρίς τε τούτου πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον."

83 Γνῶμαι μὲν δὴ τρεῖς αὗται προεκέατο, οἱ δὲ τέσσερες τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. ὡς δὲ ἐσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι, ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε. „ἄνδρες στασιῶται, δῆλα γὰρ δὴ ὅτι δεῖ ἕνα γε τινὰ ἡμέων βασιλέα γενέσθαι, ἤτοι κλήρῳ γε λαχόντα, ἢ ἐπιτρεψάντων τῷ

ἀντὶ τοῦ, ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. — ποιεῦσι 'thun es', nämlich. κακοῦσι τὰ κοινά. — Dareios deutet auf die Klubs (ἑταιρεῖαι, συνωμοσίαι), zu denen sich in den Demokratien die Parteigenossen zu vereinigen pflegten.

22. ἐκ δὲ αὐτῶν 'infolge dessen': gewöhnlicher ἐκ τούτου oder τούτων. S. zu I 9 2.

23. ἀν' ὧν ἐφάνη: zu I 194 20. Vgl. Eurip. Fr. 628 μηδ' αὔξε (ἄνδρα δήμῳ πιστὸν) καιροῦ μεῖζον, οὐ γὰρ ἀσφαλές, Μή τοι τύραννος λαμπρὸς ἐξ ἀστοῦ φανῇ. Plat. Gorg. p. 484 ἐπαναστὰς ἀνεφάνη δεσπότης ἡμέτερος ὁ δοῦλος. Arist. Polit. V 5 σχεδὸν οἱ πλεῖστοι τῶν ἀρχαίων τυράννων ἐκ δημαγωγῶν γεγόνασι.

24. οὗτος, ὁ δῆμος.

25. Vgl. Eurip. Fr. 364 5 βραχεῖ δὲ μύθῳ πολλὰ συλλαβὼν ἐρῶ. — Erst hier läfst H. den Redner den Boden hellenischer Anschauungen und Verhältnisse — auf welche sich seine wie seiner Vorredner Erläuterungen stillschweigend beziehen — verlassen und den eigentlich persischen Standpunkt einnehmen. Wir wissen nicht, ob die Angriffe, welche der Vf. wegen dieser Reden erfuhr, sich auch auf ihre hellenische Färbung bezogen (zu c. 80 4); jedenfalls aber erscheinen sie auch von dieser Seite als eine von ihm mit zu schnellem Glauben aufgenommene historische Dichtung, die vielleicht aus derselben Quelle stammte wie die über den Ursprung des Königtums bei den Medern (I 96 ff).

28 f. διὰ ἕνα ἄνδρα, unius viri opera, des Kyros. — τὸ τοιοῦτο, μουναρχίην. — περιστέλλειν, tueri, wie II 147 14. III 31 20. — χωρὶς τούτου, abgesehen davon, dafs wir um Kyros willen die Monarchie beibehalten müssen. — πατρίους νόμους, zu denen die monarchische Verfassung gehört.

30. οὐ γὰρ ἄμεινον: zu I 187 8.

83. 2. ταύτῃ, der letzten (c. 82 6).

5. γάρ: zu I 8 10.

6. ἐπιτρεψάντων, sc. ἡμέων.

Digitized by Google

Περσέων πλήθεϊ τὸν ἂν ἐκεῖνο ἕληται, ἢ ἄλλῃ τινὶ μηχανῇ. ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι· οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω· ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς, ἐπ' ᾧ τε ὑπ' οὐδενὸς ὑμέων ἄρξομαι, οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ ἀπ' ἐμεῦ αἰεὶ γινόμενοι.“ τούτου εἴπαντος ταῦτα ὡς συνεχώρεον οἱ ἑξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο ἀλλ' ἐκ μέσου κατῆστο, καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ
84 *θέλει, νόμους οὐκ ὑπερβαίνουσα τοὺς Περσέων. οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπὸ Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἕλθῃ ἡ βασιληίη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. τοῦδε δὲ εἵνεκεν ἐβούλευσάν οἱ δί-*

10. *ἄρξομαι*, passiv.

13. *ἐκ τοῦ μέσου κατῆσθαι, e medio secedere*, ‘sich absondern’, isolieren. Die dem H. eigentümliche Redeweise noch IV 118 9. VIII 22 10 (*ἕζεσθαι*). 73 16; vgl. *ἀποκατῆσθαι* IV 66 6.

14. *μούνη ἐλευθέρη*: die anderen Perser verhielten sich zum Könige als *δοῦλοι* zum *δεσπότῃ*.

16. *οὐκ*: nicht *μή*?

84. 2 f. ‘berieten wie sie den König am geziemendsten bestellen sollten’, welche Stellung des Königs die geziemendste sein würde, den übrigen Sechs gegenüber. Die Beratung führte dann auf die weiter angegebenen Vorrechte der Sieben (Sechs) und besonders des Otanes gegenüber dem König (*ἐξαίρετα*) Zum Ausdruck vgl. II 35 9. VII 9β 2. 175 3. — *ὡς* st. *ὅκως*, wie II 61 2.

5 ff. Medisch hieſs die Kleidung, weil sie, wie das übrige Hofzeremoniel, den Medern entlehnt war (vgl. I 135 2 u. zu VII 62 2), vielleicht auch weil sie in Medien fabriziert wurde (Arist. Wesp. 11 43 *ἐν Ἐκβατάνοισι ταῦθ' ὑφαίνεται*). Sie bestand aus einem weiten schwerwollenen Ärmelrocke, der bis auf die Knöchel reichte, *κανδύς*, und einem leichten farbigen, wahrscheinlich seidenen Obergewande, *κάνδυς*. Sie war die Amtstracht der obersten Würdenträger und konnte nur vom Könige verliehen werden, der auch wohl Ausländer damit dekorierte (vgl. c. 20 4. VII 116 3). Die Hellenen nannten sie später schlechthin die ‘persische’ Tracht; auch *δωροφορικὴ ἐσθής* (Hesych. *οὕτω λέγεται, ἣν βασιλεὺς Περσῶν δωρεῖται*), als Bestandteil der *δωρεὴ τιμιωτάτη* (vgl. c. 160 9. VII 8δ 5), durch welche der König seine Gunst bezeugte. Xen. An. I 2 27 *Κῦρος μὲν ἐκείνῳ δῶρα (ἔδωκεν) ἃ νομίζεται παρὰ βασιλεῖ. τίμια, ἵππον χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ ψέλια καὶ ἀκινάκην χρυσοῦν καὶ στολὴν Περσικήν.* Vgl. auch c. 20 5. VIII 120 4.

Digitized by Google

δοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα καὶ συνέστησε αὐτούς. ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα, τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν, παριέναι ἐς τὰ βασιλήια πάντα τὸν βουλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς, γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέι ἢ ἐκ τῶν συνεπαναστάντων. περὶ δὲ τῆς βασιληίης ἐβούλευσαν τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπανατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

Δαρείῳ δὲ ἦν ἱπποκόμος ἀνὴρ σοφός, τῷ οὔνομα 85
ἦν Οἰβάρης· πρὸς τοῦτον τὸν ἄνδρα, ἐπείτε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε. „Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληίης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι αὐτῶν ἐπαναβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην. νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς σχῶμεν τοῦτο τὸ γέρας καὶ μὴ ἄλλος τις.“ ἀμείβεται Οἰβάρης τοῖσιδε. „εἰ μὲν δὴ ὦ δέσποτα ἐν τούτῳ τοι ἐστὶ ἢ βασιλέα εἶναι ἢ μή,

8. *ἐβούλευσε*: vielmehr *ὑπώπτευσε* (c. 68 5).

10. *ἐς τὸ κοινόν*, sc. *τῶν ἑπτά*.

11. *τῶν ἑπτά*, den zukünftigen König vorläufig mitgerechnet. Ähnlich VI 43 13.

13. *ἄλλοθεν* = *ἐξ ἄλλου οἴκου*.

15. Über den Mithra- oder Sonnendienst der Perser zu I 131 8. Besonders beim Aufgange pflegten sie ihr Opfer und Verehrung darzubringen (vgl. VII 54). Das Pferd war ihr heilig, und sein Wiehern mochte als ein Augurium gelten, wie bei den Germanen (Tac. Germ. 10 von den heiligen Pferden *hinnitus ac fremitus observant nec ulli auspicio maior fides*). S. auch zu VIII 137 26.

85. 2. *Οἰβάρης*: der Name lautete persisch *Ubara* und wird bei Nikolaos Damask. Fr. 66 richtig durch *ἀγαθάγγελος* erklärt. Was H. hier von ihm erzählt, verdient natürlich nicht als historisch angesehen zu werden, schon darum nicht, weil Dareios der legitime Thronerbe war und keine Mitbewerber hatte. Daſs es aber nicht geradezu erdichtet sondern nur aus einer anderen und älteren Überlieferung in die Geschichte des Dareios übergegangen ist, geht daraus hervor, daſs in der zu I 128 6 berührten Tradition über den älteren Kyros es eben auch ein Pferdeknecht Öbares ist, durch dessen Verschlagenheit und treue Hilfe jener zur Herrschaft gelangt.

4. *κατὰ τάδε* = *ὧδε* (V 33 12).

6. *σοφίην* = *σόφισμα* (13); vgl. zu c. 4 12.

7. *γέρας, dignitatem* (VII 3 10).

9. *ἐν τούτῳ ἐστί* ‘hierauf beruht’, = *ἐκ τούτου ἤρτηται;* vgl. VI 109 10 u. 28. VIII 118 16.

Digitized by Google

10 θάρσεε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε ἀγαθόν, ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται· τοιαῦτα ἔχω φάρμακα.“ λέγει Δαρεῖος „εἰ τοίνυν τι τοιοῦτον ἔχεις σόφισμα, ὥρη μηχανᾶσθαι καὶ μὴ ἀναβάλλεσθαι, ὡς τῆς ἐπιούσης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐστί.“ ἀκούσας
15 ταῦτα ὁ Οἰβάρης ποιέει τοιόνδε· ὡς ἐγίνετο ἡ νύξ, τῶν θηλέων ἵππων μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα, ταύτην ἀγαγὼν ἐς τὸ προάστειον κατέδησε καὶ ἐπήγαγε τὸν Δαρείου ἵππον, καὶ τὰ μὲν πολλὰ περιῆγε ἀγχοῦ τῇ ἵππῳ ἐγχρίμπτων [τῇ θηλέῃ], τέ-
86 λος δὲ ἐπῆκε ὀχεῦσαι [τὸν ἵππον]. ἅμ' ἡμέρῃ δὲ διαφωσκούσῃ οἱ ἐξ κατὰ τὰ συνεθήκαντο παρῆσαν ἐπὶ τῶν ἵππων· διεξελαυνόντων δὲ [κατὰ] τὸ προάστειον, ὡς κατὰ τοῦτο τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυ-
5 κτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵππος προσδραμὼν ἐχρεμέτισε· ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποιήσαντι ἀστραπὴ ἐξ αἰθρίης καὶ βροντὴ ἐγένετο. ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτελέωσέ μιν ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ καταθορόντες ἀπὸ τῶν

10. *τούτου εἵνεκεν* ‘soweit es hierauf ankommt’ (I 42 9).

11. *ἄλλος πρό*, wie VII 3 10. — *τοιαῦτα*: vgl. Il. ξ 342 *Ἥρη, μήτε θεῶν τό γε δείδιθι μήτε τιν' ἀνδρῶν Ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω.* Eurip. Med. 717 *παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς Σπεῖραί σε θήσω. τοιάδ' οἶδα φάρμακα.*

14. *ἐστί.* Präsens wie I 124 16. 126 20, IV 97 15. 2017 16 VI 86α 3. 109 29. VII 235 17. 236 11 u. 13. IX 17 10. 46 4.

16. Die Sage vergifst dafs Dareios in Susa nicht ansessig ist (c. 70).

18 f. *τὰ πολλά* (plerumque, I 203 12) gehört zu *ἀγχοῦ — θηλέῃ*: er führte den Hengst um die Stute herum und zwar meist so nahe dafs er ihn die Stute berühren liefs. *τῇ ἵππῳ* gehört zu *ἐγχρίμπτων.*

86. 2. *κατὰ τά*: zu II 99 4.

7. Ähnlich von Kyros Xen. Kyr. I 6 1 *ἐπειδὴ δὲ ἔξω τῆς οἰκίας ἐγένοντο, λέγονται ἀστραπαὶ καὶ βρονταὶ αὐτῷ αἴσιοι γενέσθαι. τούτων δὲ φανέντων οὐδὲν ἄλλο ἔτι οἰωνιζόμενοι ἐπορεύοντο ὡς οὐδένα λήσοντα τὰ τοῦ μεγίστου θεοῦ σημεῖα*, und Nikolaos Damask. Fr. 66.

8 f. *ἐτελέωσε* ‘bestätigte, gab ihm die Weihe’. — *ὥσπερ ἐκ συνθέτου τευ* ‘gleichsam nach einem Übereinkommen’, = *ὥσπερ ἐκ συνθήματος* (VI 121 2). *τευ* dient zur Substantivierung des Adjektivs; s. zu I 61 10. Das Wiehern des Pferdes war ein Zeichen des Sonnengottes Mithra, Blitz und Donner das des Himmelsgottes Auramazda, und beide Götter schienen sich gleichsam verabredet zu haben, den Dareios für den rechtmäfsigen König zu erklären.

Digitized by Google

ἵππων προσεκύνεον τὸν Δαρεῖον. οἱ μὲν δή φασι τὸν 87
Οἰβάρεα ταῦτα μηχανήσασθαι, οἱ δὲ τοιάδε (καὶ γὰρ
ἐπ' ἀμφότερα λέγεται ὑπὸ Περσέων), ὡς τῆς ἵππου ταύ-
της τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας
ἐν τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι 5
μέλλειν τοὺς ἵππους, τὸν Οἰβάρεα τοῦτον ἐξείραντα τὴν
χεῖρα πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖ-
και, τὸν δὲ αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι.

Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, 88
καὶ οἱ ἦσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι πλὴν Ἀρα-

10. *προσεκύνεον*, nämlich *ὡς βασιλέα*. Xen. An. I 8 21 *Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὑτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν.* Vgl. zu I 134 6.

87. 4. *ἄρθρα* = *αἰδοῖα*, noch IV 2 5 von weiblichen Tieren.

4. *ἔχοι* — *κρύψας*: zu I 27 19. Hesiod. *ἔργ.* 42 *κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.* — *ἀναξυρίσι*: s. I 71 10. VII 61 5.

6. *ἐξείρειν*, *exserere*.

Einteilung des Reiches in Steuerbezirke (c. 88—97).

88. 2. Herodot und die übrigen Autoren lassen Dareios ohne weitere Schwierigkeiten sich des ganzen Reichs bemächtigen; nur in Medien (zu I 130 7), Babylonien (c. 150 ff.), und in Lydien durch den Satrapen Orötes (c. 126 ff.) soll er Widerstand gefunden haben. Doch deutet H. c. 127 (*οἰδεόντων ἔτι τῶν πρηγμάτων*) wenigstens an dafs Dareios das Reich in einem bedenklichen Zustande übernahm. In seiner Inschrift zu Behistân berichtet dieser selber von zahlreichen Aufständen, an deren Spitze meist wirkliche oder angebliche Nachkommen einheimischer Fürstengeschlechter standen, und fafst sie alle zuletzt in einer Übersicht zusammen (IV 1). 'Es spricht der König Dârayavu. Das was ich that, das geschah durch die Gnade des Auramazda in aller Weise. Nachdem die Könige abtrünnig geworden waren, da lieferte ich 19 Schlachten. Durch die Gnade des Aur. schlug ich sie, 9 Könige nahm ich gefangen. Einer, *Gaumâta* mit Namen, ein Mager; dieser log, also sprach er: ich bin Bardiya, Sohn des Kuru; dieser machte Persien abtrünnig. Einer war *Atrina* mit Namen, dieser log in Susiana, also sprach er: ich bin König in Susiana; dieser machte Susiana abtrünnig von mir. Einer war *Naditabira* mit Namen, ein Babylonier; dieser log, also sprach er: ich bin Nabukudracara, der Sohn des Nabunita; dieser machte Babylon abtrünnig. Einer war *Martiya* mit Namen, ein Perser; dieser log, also sprach er: ich bin Imanis, König in Susiana; dieser machte Susiana abtrünnig. Einer war *Fravartis* mit Namen, ein Meder; dieser log, also sprach er: ich bin Khsathrita, aus der Familie der Uvakhsatara (*Κυαξάρης*); dieser machte Medien abtrünnig. Einer war *Citratakhma* mit Namen, ein Açagartier (*Σαγάρτιος*); dieser log, also sagte er: ich bin König in Açagartien, aus der Familie der Uvakhsatara; dieser machte Açagartien abtrünnig. Einer war *Fráda* mit Namen, ein Mârgaver (*Μαργιανός*); dieser log, also sagte er: ich bin König in Margu (*Μαργιανή*); er machte Margu ab-

Digitized by Google

βίων, Κύρου τε καταστρεψαμένου καὶ ὕστερον αὖτις Καμβύσεω. Ἀράβιοι δὲ οὐδαμὰ κατήκουσαν ἐπὶ δουλοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο παρέντες Καμβύσεα ἐπ' Αἴγυπτον· ἀεκόντων γὰρ Ἀραβίων οὐκ ἂν ἐσβάλοιεν Πέρσαι ἐς Αἴγυπτον. γάμους τε τοὺς πρώτους ἐγάμεε ⟨ἐν⟩ Πέρσῃσι ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας Ἄτοσσάν τε καὶ Ἀρτυστώνην, τὴν μὲν Ἄτοσσαν προσυνοικήσασαν Καμβύσῃ τε τῷ ἀδελφεῷ καὶ αὖτις τῷ Μάγῳ, τὴν δὲ Ἀρτυστώνην παρθένον· ἑτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε, τῇ οὔνομα ἦν Πάρμυς· ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα, ἣ τὸν Μάγον

trünnig. Einer war *Vahyazdâta* mit Namen, ein Perser; dieser log, also sprach er; ich bin Bardiya, der Sohn des Kuru; der machte Persien abtrünnig. Einer war *Arakha* mit Namen, ein Armenier; dieser log, also sprach er: ich bin Nabukudracara, der Sohn des Nabunita; der machte Babylon abtrünnig. Diese 9 Könige habe ich gefangen in jenen Schlachten'.

3 f. *ὕστερον αὖτις Καμβύσεω* deutet an dafs auch bei Kyros' Tod ein allgemeiner Aufstand stattgefunden. — *Ἀράβιοι*: wohl nicht die Bewohner des eigentlichen Arabiens, sondern die ismaelitischen Wanderstämme der Sina-halbinsel bis zum südlichen Mesopotamien; vgl. zu c. 8 2. IV 39 5. — *ἐπὶ δουλοσύνῃ, servili conditione*; vgl. I 141 3. Wie an jener Stelle und oben Z. 2 *κατήκοος* mit dem Dativ steht, so hier das Verbum; sonst *c. genit.* Ähnliches Schwanken beim synon. *πείθεσθαι* (zu I 59 13). Die Arabier lieferten übrigens jährliche Geschenke (c. 97 20) und leisteten Heeresfolge (VII 67). — *παρέντες*: s. c. 4 ff.

6 ff. *ἂν ἐσβάλοιεν*, Potential des Aorist von etwas Vergangenem. Bei H. noch VII 180 7. IX 71 19. Vgl. zu I 70 17. — *γάμους — ἐγάμεε* 'heiratete die vornehmsten Frauen'. IV 145 *οἱ δὲ αὐτίκα μὲν γάμους ἔγημαν, τὰς δὲ ἐκ Λήμνου ἤγοντο ἐξέδοσαν ἄλλοισι*, IX 108 *πρήσσει τὸν γάμον τοῦτον τῷ παιδὶ — θυγατέρα τῆς γυναικὸς ταύτης.* Eurip. Tr. 357 *Ἑλένης γαμεῖ με δυσχερέστερον γάμον.* Plut. Sulla 4 *γαμεῖ δὲ γάμον ἐνδοξότατον Καικιλίαν.* — Iustin I 10 *principio regni Cyri regis filiam in matrimonium recepit regalibus nuptiis regnum firmaturus, ut non tam in extraneum translatum quam in familiam Cyri reversum videretur.* Vorher war er schon mit des Gobryas Tochter vermählt gewesen, die ihm drei Söhne geboren (VII 2). — *Ἄτοσσαν*: vgl. zu c. 31 23; ihre Söhne waren Xerxes, Masistes (VII 82), Achämenes (VII 97), Hystaspes (VII 64). Unter den königlichen Frauen behauptete sie den ersten Rang (VII 3 18). — *Ἀρτυστώνην*: von ihr VII 69 *τὴν μάλιστα στέρξας τῶν γυναικῶν Δαρεῖος εἰκὼ χρυσέην σφυρήλατον ἐποιήσατο.* Als ihre Söhne werden Arsames und Gobryas genannt (VII 69. 72).

11 f. *ἑτέρην* näml. *πρὸς ταύτῃσι* (VII 21 1). — Ein Sohn der Parmys hiefs Ariomardos (VII 78).

13. *ἔσχε*: zu c. 31 23. — *τὴν Ὀτάνεω θυγατέρα*, die Phädyme (c. 68). — Eine sechste Frau Phratagune erwähnt Herodot VII 224.

Digitized by Google

κατάδηλον ἐποίησε· δυνάμιός τε πάντα οἱ ἐπιμπλέατο. πρῶτον μέν νυν τύπον ποιησάμενος λίθινον ἔστησε· ζῷον δέ οἱ ἐνῆν ἀνὴρ ἱππεύς, ἐπέγραψε δὲ γράμματα λέγοντα τάδε, „Δαρεῖος ὁ Ὑστάσπεος σύν τε τοῦ ἵππου τῇ ἀρετῇ" τὸ οὔνομα λέγων „καὶ Οἰβάρεος τοῦ ἱπποκόμου ἐκτήσατο τὴν Περσέων βασιληίην." ποιήσας δὲ ταῦτα ἐν Πέρσῃσι ἀρχὰς κατεστήσατο εἴκοσι, τὰς

14. 'Und alles ward ihm voll der Macht', sein Ansehen und Geltung als König verbreitete sich über alle Teile seines Reiches. VIII 132 *στρατιῆς τε πάντα πλέα ἐδόκεε εἶναι.* Liv. III 63 *ne ita omnia tribuni potestatis suae implerent.* Der (bei Homer häufige und auch sonst nicht eben seltene) Plural *ἐπιμπλέατο* wie IV 20 *τὰ δὲ αὐτῶν κατήκουσι*, 149 *ὑπέμειναν τὰ τέκνα*, V 112 *ὡς συνῆλθον τὰ στρατόπεδα συμπεσόντα ἐμάχοντο*, I 100 6. 139 4. II 36 14. 196 13. 138 7. IV 112 3. 185 7. V 113 8. VI 41 23. VII 119 13.

15. *τύπον*, Reliefbild (II 106 6. 138 7). Darstellungen der Art sind aus Dareios' Zeit noch in Behistân, Persepolis u. s. vorhanden. Die hier beschriebene ist nicht wiedergefunden, hatte aber jedenfalls einen anderen als den hier angegebenen Sinn, der weder zu der Stellung noch zu den sonstigen Äufserungen (zu c. 70 1 u. 10) des Königs paſst. Vgl. auch zu c. 128 7.

16. *ζῷον* 'Figur' (I 70 5). — *οἱ ἐνῆν*, als ginge nicht *τύπον* sondern *στήλην* vorauf (vgl. II 106).

18. *ἀρετῇ* vom Pferde, wie c. 106 12 von der Baumwolle, IV 198 1. VII 5 17. VIII 144 7 von einem Lande. — *τὸ οὔνομα λέγων*, Parenthese des Vf., der den Namen wohl nicht wufste. Vgl. VI 139 16.

89. Die Nomenliste des persischen Reiches, welche in den flgg. Kapiteln enthalten ist, war lange die einzige aus dem Altertum überlieferte. Durch die Entzifferung der Keilinschriften sind jetzt drei ähnliche Listen hinzugekommen, sämtlich von Dareios herrührend, von denen eine in der Inschrift von Behistân, die beiden anderen in Inschriften von Persepolis und Nakschi Rustam (Grab des Dareios) enthalten sind. Während aber in diesen die Hauptländer und Völker des Reiches in geographischen Reihen aufgezählt werden, gibt die herodotische Liste eine Übersicht der Steuerbezirke, in welchen, ohne Rücksicht auf historischen oder ethnischen Zusammenhang, benachbarte Stämme und Staaten gruppenweise so zusammengestellt sind, daſs die Steuerquoten jeder Gruppe eine runde Summe ausmachen. Ob aber, wie H. andeutet, diese Steuerbezirke an Umfang und Zahl zusammenfielen mit den Verwaltungsbezirken (Satrapien), bleibt ungewiſs. Der XVI. Nomos z. B. vereinigt so ansehnliche Völker, daſs sie nicht wohl unter einem Satrapen stehen konnten; und andererseits ergibt sich aus VII 64. IX 113, daſs die Baktrier und Saken eine Satrapie bildeten, während sie verschiedenen Steuernomen angehörten. — Von den Völkern des Reiches zählt diese Liste zusammen 66 auf (vgl. zu VII 61 1), die beiden ältesten jener Inschriften aber enthalten, abgesehen von den Persern, nur 22 und 24, die dritte, welche auch des Dareios Eroberungen begreift, 29 Völkernamen, die nur teilweise mit den herodotischen übereinstimmen.

2. *κατεστήσατο*, nicht damals zum ersten Male. Schon unter Ky-

Digitized by Google

αὐτοὶ καλέουσι σατραπηίας· καταστήσας δὲ τὰς ἀρχὰς καὶ ἄρχοντας ἐπιστήσας ἐτάξατο φόρους οἱ προσιέναι κατὰ ἔθνεά τε καὶ πρὸς τοῖσι ἔθνεσι τοὺς πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσεχέας τὰ ἑκαστέρω ἄλλοισι ἄλλα ἔθνεα νέμων. ἀρχὰς δὲ καὶ φόρων πρόσοδον τὴν ἐπέτειον κατὰ τάδε διεῖλε. τοῖσι μὲν αὐ-

ros und Kambyses gab es Satrapen (I 153 14. III 70 11. 120 2 und 9. IV 166 2), und Dareios erwähnt in der Behistân-inschrift (aus den ersten Jahren seiner Regierung) 'Satrapen' von Arachosien und Baktrien. Seine Neuerung bestand darin, dafs die Landschaften durchgängig nicht mehr als Lehnreiche von einheimischen Fürsten, sondern als eigentliche Provinzen (*ἀρχαί*) von medopersischen Beamten (*ἄρχοντες*) verwaltet wurden. Vgl. zu I 134 14.

3. *καταστήσας*; zum Wechsel des Genus I 164 17. — *σατραπηίας*: zu I 192 10. Der offizielle persische Ausdruck in den Inschriften *dahyâus* bezeichnet 'Landschaft'.

4. *ἐτάξατο, constituit*. Anders c. 13 11. — *φόρους*, hauptsächlich Grundsteuern, zu welchem Zwecke der Grundbesitz nach Parasangen vermessen wurde (VI 42). Aufserdem gab es indirekte Steuern ('Schofs-, Zoll- und Weggeld' nennt Esra 4 14), Regale (c. 91, 117), und Leistungen für den Unterhalt des königlichen Hofes, der Satrapen und der Truppen (I 192). Die unten aufgeführten Summen bezeichnen daher bei weitem nicht die Höhe der wirklichen Abgaben, sondern nur den in den Schatz fliefsenden Teil. Ihre Eintreibung und Abführung lag den Satrapen ob.

5 ff. Die parallelen Glieder, *κατὰ ἔθνεα καὶ — προστάσσων καὶ — νέμων*, sind ungleichartig, wie II 33 *ῥέει γὰρ ἐκ Λιβύης ὁ Νεῖλος καὶ μέσην τάμνων Λιβύην*. — *ὑπερβαίνων τοὺς προσεχέας* 'über diese Nachbarn (eben die *πλησιόχωροι*) hinaus (vgl. VI 108 29); nicht 'überspringend', denn dies wäre an sich ein seltsames Verfahren, streitet auch gegen die wirkliche Einteilung, in der alle Nomen (der XVI. macht eine natürliche Ausnahme) aus zusammenhängenden Gebieten bestehen. *ὑπερβαίνων* ist Nebenbestimmung zu *νέμων*, welches wiederum nur ein anderer Ausdruck für das parallele *προστάσσων* ist (*προσέτασσε — καὶ ὑπερβαίνων — ἔνεμε*). — Verb. *τὰ ἑκαστέρω ἔθνεα νέμων ἄλλοισι ἄλλα*. Demnach ist der Sinn der schwierigen Stelle dieser. Dareios ging bei der Einteilung von 20 Hauptvölkern als Centralkörpern der zu bildenden Bezirke aus (*κατὰ ἔθνεα*), und vereinigte mit ihnen die je nächst benachbarten; was aber die weiterab wohnenden betraf, so ordnete er sie je nach Verhältnis dieser oder jener Hauptgruppe zu, in deren Nähe sie lagen. So schlossen sich im I. *νομός* (c. 90) an die Ioner als Mittelpunkt nördlich die Äoler, östlich die Magneten, südöstlich die Karer und weiter die Lykier, Milyer und Pamphyler; im VI. *νομός* (c. 91) gehörten zu Ägypten die anwohnenden Libyer und weiter nach Westen noch Kyrene und Barke.

7. *ἀρχάς δέ*: ohne Artikel; zu IX 86 3.

8. *διεῖλε*: der Aorist wie oben *ἐτάξατο*, während doch unten die Einteilung der Nomen und die Umlegung der Steuern nicht erzählt sondern als eine früher bestandene Einrichtung beschrieben wird (c. 90 *ἦν τεταγμένος* u. *κατ-*

Digitized by Google

τῶν ἀργύριον ἀπαγινέουσι εἴρητο Βαβυλώνιον σταθμὸν τάλαντον ἀπαγινέειν, τοῖσι δὲ χρυσίον ἀπαγινέουσι Εὐ- 10

εστήκεε, 91 *ἐκεκοσμέατο* u. a.). Der Vf. scheint diese ganze Statistik, die nicht blofs für die Zeit des Dareios sondern auch seiner Nachfolger gültig war, bei der Ausarbeitung dieser Partie des Werkes als ein bereits fertiges Stück seiner Vorarbeiten aus dem Präsens und Perfekt in das Imperfekt und Plusquamperfekt umgesetzt zu haben, ohne jedoch alle Spuren der ersten Form zu beseitigen (c. 91 6 u. 16. 96 5 ff. 97 3 u. 16. 98 2). — *κατὰ τάδε*; die Ausführung folgt erst c. 90 ff. Von den beiden unterbrechenden Bemerkungen (8—12 und 12—19) ist die zweite wohl erst später nachgefügt (s. Einl. p. XLV).

9. *ἀπαγινέειν* (attisch *ἀπάγειν*) 'entrichten', = *ἐπιτελέειν*, *προσφέρειν* (c. 91 20), häufig vom Zahlen und Leisten pflichtmäfsiger Lasten und Schulden: so c. 92 8. 93 10. 94 9. V 82 14; vgl. *φόρου ἀπαγωγή* (I 6 6 u. s.). Ebenso *ἀποφέρειν* (IV 35 5. V 84 7). Über diese Bedeutung der Präposition zu I 14 3. — *εἴρητο* 'war befohlen worden': c. 94 7 *προείρητο*. Öfter bei Thukydides. — *σταθμόν* 'an Gewicht'.

τάχιστα ἡμέρη ἐπέλαμψε, καλέσας Περσέων ἄνδρας δοκίμους πεντεκαίδεκα ἐντετέλλετό σφι ἑπομένους Δημοκήδεϊ διεξελθεῖν τὰ παραθαλάσσια τῆς Ἑλλάδος, ὅκως τε μὴ διαδρήσεται σφέας ὁ Δημοκήδης, ἀλλά μιν πάντως ὀπίσω ἀπάξουσι. ἐντειλάμενος δὲ τούτοισι ταῦτα, δεύτερα καλέσας αὐτὸν Δημοκήδεα ἐδέετο αὐτοῦ ὅκως ἐξηγησάμενος πᾶσαν καὶ ἐπιδέξας τὴν Ἑλλάδα τοῖσι Πέρσῃσι ὀπίσω ἥξει· δῶρα δέ μιν τῷ πατρὶ καὶ τοῖσι ἀδελφεοῖσι ἐκέλευε πάντα τὰ ἐκείνου ἔπιπλα λαβόντα ἄγειν, φὰς ἄλλα οἱ πολλαπλήσια ἀντιδώσειν· πρὸς δὲ ἐς τὰ δῶρα ὁλκάδα οἱ ἔφη συμβαλέεσθαι πλήσας ἀγαθῶν παντοίων, τὴν ἅμα οἱ πλεύσεσθαι. Δαρεῖος μὲν δή, δοκέειν ἐμοί, ἀπ' οὐδενὸς δολεροῦ νόου ἐπαγγέλλετό οἱ ταῦτα. Δημοκήδης δὲ δείσας μή εὐ ἐκπειρῷτο Δαρεῖος, οὕτι ἐπιδραμὼν πάντα τὰ διδόμενα ἐδέκετο, ἀλλὰ τὰ μὲν ἑωυτοῦ κατὰ χώρην ἔφη καταλείψειν, ἵνα ὀπίσω σφέα ἀπελθὼν ἔχοι, τὴν μέντοι ὁλκάδα, τήν οἱ Δαρεῖος ἐπαγγέλλετο ἐς τὴν δωρεὴν τοῖσι ἀδελφεοῖσι, δέκεσθαι ἔφη. ἐντειλάμενος δὲ καὶ τούτῳ ταῦτα ὁ Δα-

ἔφα καὶ ἔργον (worin jüngere Hschr. *ἔφα* durch *εἶπε* ersetzen oder streichen) entstellt. Herodot hat sich einfacher ausgedrückt und gewifs nicht *εἶπε* durch *ἔπος* erneuert. Seine Weise zeigt V 112 *ταῦτα εἶπε καὶ αὐτίκα συνίμισγε τὰ στρατόπεδα*, IX 92 *ταῦτά τε ἅμα ἠγόρευε καὶ τὸ ἔργον προσῆγε*, I 113 *κάρτα τε ἔδοξε — καὶ αὐτίκα ἐποίεε ταῦτα*, VII 59 *ἔδοξε ὦν — καὶ ἐποίεε ταῦτα*, 100 *ἐπεθύμησε — μετὰ δὲ ἐποίεε ταῦτα*. Also schrieb er etwa *ταῦτα εἶπε καὶ αὐτίκα ἐποίεε ἐπιτελέα*. Zu einem starken Ausdruck der Eile, wie in dem überlieferten Text (vgl. das Sprichwort *ἅμ' ἔπος ἅμ' ἔργον*, *dictum factum*) war hier kein Anlafs.

5. *ὅκως τε μὴ διαδρήσεται*, abhängig von *ἐντέλλετο*, parallel zu *διεξελθεῖν*, 'und dafs er ihnen nicht entlaufe'.

7. *ὀπίσω ἀπάξουσι*: zu c. 16 4.

9. Zur Wortfolge vgl. VII 9γ 2.

13. *συμβάλλεσθαι ἔς τι* 'zu etwas beitragen, beisteuern' (IV 50 6).

16. Nahm er seine ganze Habe mit, so konnte Dareios schliefsen, er wolle nicht wiederkommen.

17. *ἐπιδραμών* 'zufahrend, hastig zugreifend'.

18. *κατὰ χώρην* = *αὐτοῦ* oder *αὐτοῦ ταύτῃ*, 'an Ort und Stelle, daselbst' (I 169 6. IV 135 16. VIII 73 3. 78 4. 108 1. IX 55 2).

20. *ἐς τὴν δωρεήν*: zu c. 97 15. Dabei der Dativ wie Demosth. g. Kall. 26 *δωρεὰς τῇ πόλει*. (Oben 10 war auch der Vater genannt. Seine erneute Erwähnung zu vermissen wäre ebenso pedantisch wie II 107 15 die der Mutter.)

21. *ταῦτα*, das oben erwähnte: *διεξελθεῖν τὰ παραθαλάσσια τ. Ἑ.* Wegen *ταῦτα* st. *ἐκεῖνα* s. zu I 1 13.

Digitized by Google

ρεῖος ἀποστέλλει αὐτοὺς ἐπὶ θάλασσαν. καταβάντες δὲ **136**
οὗτοι ἐς Φοινίκην καὶ Φοινίκης ἐς Σιδῶνα πόλιν αὐ-
τίκα μὲν τριήρεας δύο ἐπλήρωσαν, ἅμα δὲ αὐτῇσι καὶ
γαῦλον μέγαν παντοίων ἀγαθῶν· παρεσκευασμένοι δὲ
πάντα ἔπλεον ἐς τὴν Ἑλλάδα, προσίσχοντες δὲ αὐτῆς
τὰ παραθαλάσσια ἐθηεῦντο καὶ ἀπεγράφοντο, ἐς δὲ τὰ
πολλὰ αὐτῆς καὶ ὀνομαστὰ θεησάμενοι ἀπίκοντο τῆς
Ἰταλίης ἐς Τάραντα. ἐνθαῦτα δὲ ἐκ χρηστώνης τῆς Δη-
μοκήδεος Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεὺς
τοῦτο μὲν τὰ πηδάλια παρέλυσε τῶν Μηδικέων νεῶν, 10
τοῦτο δὲ αὐτοὺς τοὺς Πέρσας εἶρξε ὡς κατασκόπους
δὴθεν ἐόντας. ἐν ᾧ δὲ οὗτοι ταῦτα ἔπασχον, ὁ Δημο-
κήδης ἐς τὴν Κρότωνα ἀπικνέεται· ἀπιγμένου δὲ ἤδη
τούτου ἐς τὴν ἑωυτοῦ ὁ Ἀριστοφιλίδης ἔλυσε τοὺς Πέρ-
σας, καὶ τὰ παρέλαβε τῶν νεῶν ἀπέδωκέ σφι. πλέον- **137**
τες δὲ ἐνθεῦτεν οἱ Πέρσαι καὶ διώκοντες Δημοκήδεα
ἀπικνέονται ἐς τὴν Κρότωνα, εὑρόντες δέ μιν ἀγοράζο-
ντα ἅπτοντο αὐτοῦ. τῶν δὲ Κροτωνιητέων οἱ μὲν
καταρρωδέοντες τὰ Περσικὰ πρήγματα προϊέναι ἕτοιμοι
ἦσαν, οἱ δὲ ἀντάπτοντο καὶ τοῖσι σκυτάλοισι ἔπαιον

136. 2. *καὶ Φοινίκης* 'und zwar', wie I 52 6. Über den Weg vgl. zu c. 64 19.

4. *γαῦλος· πλοῖον Φοινικικόν* Schol., eine *ὁλκάς* (c. 135 13). Vgl. VI 17 6. VIII 97 7. Auch das Wort ist semitischen Ursprunges und bezeichnet eigentlich ein rundlich bauchiges Gefäfs (Movers Phön. II 3 158 ff.). Festus erklärt *gaulus, genus navigii paene rotundum*, was auf die hochragenden ausgebogenen Vorder- und Hinterteile zu beziehen ist, wodurch das Schiff in seinem Längendurchschnitt sich fast einem Halbkreise näherte. Aus demselben Grunde heifsen überhaupt die Kauffahrer *στρογγύλαι*. Von dem verwandten Worte *γαυλός* 'Wanne, Schöpfeimer' (VI 119 14) unterschied man das Schiff durch anderen Accent. — *ἀγαθῶν*, nämlich *ἐπλήρωσαν*, 'füllten' (aber 3 'bemannten').

8. *ἐκ χρηστώνης, facilitatis ergo* 'aus Gefälligkeit gegen D.' (?) So nur eine sonst unbrauchbare Hss. aus Emendation; die anderen *ἐκ κρηστώνης* oder als Besserung *ἐκ Κρότωνος*. Die ionische Formation erfordert *χρηϊστώνης*. Sinngemäfser aber wäre *ἐκ χρησμοσύνης* 'infolge einer Bitte'. Das Wort *χρησμοσύνη* noch IX 33 22. Ahrens vermutet das diesem sinngleiche *χρηστώνης*.

9. *Ἀριστυφιλίδης*, wahrscheinlich ein Phalanthide, aus dem herrschenden Geschlechte des Stifters Phalanthos.

15. *παρέλαβε, ademerat.* Vgl. zu c. 7 3.

137. 6. *ἀντάπτοντο*, sc. *αὐτοῦ*.

Digitized by Google

τοὺς Πέρσας προϊσχομένους ἔπεα τάδε. „ἄνδρες Κροτωνιῆται, ὁρᾶτε τὰ ποιέετε. ἄνδρα βασιλέος ὀρηπέτην γενόμενον ἐξαιρέεσθε. κῶς ταῦτα βασιλεῖ Δαρείῳ ἐκχρήσει περιυβρίσθαι; κῶς δὲ ὑμῖν τὰ ποιεύμενα ἔξει καλῶς, ἢν ἀπέλησθε ἡμέας; ἐπὶ τίνα δὲ τῆσδε προτέρην στρατευσόμεθα πόλιν; τίνα δὲ προτέρην ἀνδραποδίζεσθαι πειρησόμεθα;" ταῦτα λέγοντες τοὺς Κροτωνιήτας οὐκων ἔπειθον, ἀλλ' ἐξαιρεθέντες τε τὸν Δημοκήδεα καὶ τὸν γαῦλον τὸν ἅμα ἦγοντο ἀπαιρεθέντες, ἀπέπλεον ὀπίσω ἐς τὴν Ἀσίην οὐδ' ἔτι ἐζήτησαν τὰ προσωτέρω τῆς Ἑλλάδος ἀπικόμενοι ἐκμαθεῖν, ἐστερημένοι τοῦ ἡγεμόνος. τοσόνδε μέντοι ἐνετείλατό σφι Δημοκήδης ἀναγομένοισι, κελεύων εἰπεῖν σφεας Δαρείῳ ὅτι ἁρμόσται τὴν Μίλωνος θυγατέρα Δημοκήδης γυναῖκα. τοῦ γὰρ δὴ παλαιστέω Μίλωνος ἦν οὔνομα πολλὸν παρὰ βασιλεῖ. κατὰ δὲ τοῦτό μοι δοκέει σπεῦσαι τὸν γάμον τοῦτον τελέσας χρήματα μεγάλα Δημοκήδης, ἵνα φανῇ πρὸς 138 Δαρείου ἐὼν καὶ ἐν τῇ ἑωυτοῦ δόκιμος. ἀναχθέντες δὲ ἐκ τῆς Κρότωνος οἱ Πέρσαι ἐκπίπτουσι τῇσι νησὶ ἐς Ἰηπυγίην, καί σφεας δουλεύοντας ἐνθαῦτα Γίλλος ἀνὴρ Ταραντῖνος φυγὰς ῥυσάμενος ἀπήγαγε παρὰ βασιλέα Δαρεῖον. ὁ δὲ ἀντὶ τούτων ἕτοιμος ἦν διδόναι

— *τοῖσι σκυτάλοισι*, die sie nach ererbter lakonischer Sitte trugen.

9. Eig. 'wie wird es dem Könige Dareios genügen diese Beleidigung erlitten zu haben', erg. 'ohne sich zu rächen', d. i. 'wie wird sich Dareios diese Beleidigung gefallen lassen'. Vgl. zu IV 118 16.

11. *τῆσδε* = *ἢ ἐπὶ τήνδε*; vgl. I 33 3.

13. *οὔκων, non tamen.* S. zu I 11 17. — Athenäos 522c fügt noch die Notiz hinzu: *ἐκδύσαντες τὴν στολὴν τοῦ Πέρσου ἐνέδυσαν τὸν ὑπηρέτην τοῦ πρυτανεύοντος· ἐξ οὗ δὴ Περσικὴν ἔχων στολὴν* (vgl. zu c. 84 5) *περιέρχεται ταῖς ἑβδόμαις τοὺς βωμοὺς μετὰ τοῦ πρυτάνεως, οὐ τρυφῆς χάριν οὐδ' ὕβρεως ἀλλ' ἐπηρείας τῆς εἰς τοὺς Πέρσας τοῦτο πράττοντες.*

19. *κελεύων* . ., ausführende Apposition zu *τοσόνδε ἐνετείλατο*. Ähnliches zu V 16 13.

21. *πολλόν*: zu I 75 10. Milons Ruhm war auf seine zahlreichen Siege in den hellenischen Nationalspielen gegründet (Paus. VI 14 5).

22. *κατὰ τοῦτο* 'aus diesem Grunde' (IV 48 3).

23. *πρός* 'von Seiten, in den Augen'. Ähnlich *παρὰ c. dat.* I 32 48. Vgl. I 120 28. IV 144 3. VII 139 2.

138. 2. *ἐκπίπτουσι* = *ἐκβάλλονται* (II 113 4), *ἀποφέρονται* (IV 179 7), 'werden verschlagen'.

Digitized by Google

τοῦτο δ τι βούλοιτο αὐτός. Γίλλος δὲ αἱρέεται κάτοδόν οἱ ἐς Τάραντα γενέσθαι, προαπηγησάμενος τὴν συμφορήν· ἵνα δὲ μὴ συνταράξῃ τὴν Ἑλλάδα, ἦν δι' αὐτὸν στόλος μέγας πλέῃ ἐπὶ τὴν Ἰταλίην, Κνιδίους μούνους ἀποχρᾶν οἱ ἔφη τοὺς κατάγοντας γίνεσθαι, δοκέων ἀπὸ τούτων ἐόντων τοῖσι Ταραντίνοισι φίλων μάλιστα τὴν κάτοδόν οἱ ἔσεσθαι. Δαρεῖος δὲ ὑποδεξάμενος ἐπετέλεε· πέμψας γὰρ ἄγγελον ἐς Κνίδον κατάγειν σφέας ἐκέλευε Γίλλον ἐς Τάραντα. πειθόμενοι δὲ Δαρείῳ Κνίδιοι Ταραντίνους οὔκων ἔπειθον, βίην δὲ ἀδύνατοι ἦσαν προσφέρειν. ταῦτα μέν νυν οὕτω ἐπρήχθη· οὗτοι δὲ πρῶτοι ἐκ τῆς Ἀσίης ἐς τὴν Ἑλλάδα ἀπίκοντο Πέρσαι, καὶ οὗτοι διὰ τοιόνδε πρῆγμα κατάσκοποι ἐγένοντο.

Μετὰ δὲ ταῦτα Σάμον βασιλεὺς Δαρεῖος αἱρέει, **139** πολίων πασέων πρώτην Ἑλληνίδων καὶ βαρβάρων, διὰ τοιήνδε τινὰ αἰτίην. Καμβύσεω τοῦ Κύρου στρατευομένου ἐπ' Αἴγυπτον ἄλλοι τε συχνοὶ ἐς τὴν Αἴγυπτον ἀπίκοντο Ἑλλήνων, οἱ μέν, ὡς οἰκός, κατ' ἐμπορίην στρατευόμενοι, οἱ δὲ τινὲς καὶ αὐτῆς τῆς χώρης θεηταί· τῶν ἦν καὶ Συλοσῶν ὁ Αἰάκεος, Πολυκράτεός

7 f. *τὴν συμφορήν*, 'sein Unglück', die Geschichte seiner Verbannung. — *Ἑλλάδα*: dazu gehörte alles von Hellenen bewohnte Land, also auch das hellenische Unteritalien; vgl. I 92 3. II 182 1. VII 157 12.

11 f. Tarent und Knidos waren beide lakedämonische Kolonien (I 174). — *μάλιστα* 'am ehesten'. Von den übrigen dem Könige unterthanen Städten stand keine den Tarentinern so nahe.

14 f. *πειθόμενοι — ἔπειθον*: vgl. I 8 *καί σεο δέομαι μὴ δέεσθαι ἀνόμων*. — *οὔκων ἔπειθον*, wie oben c. 137 13.

16. *ταῦτα μέν*, entspr. c. 139 1 *μετὰ δὲ ταῦτα*.

17 ff. Diese Bemerkung soll die Episode von Demokedes, als dem Thema des Werkes nicht fremd, entschuldigen. — *τοιόνδε*, st. *τοιοῦτον* (I 137 2).

Syloson. Perser auf Samos (c. 139—149).

139. 2. *πρώτην*: vgl. VI 109 17. Dies gilt natürlich nur für die Zeit des Ereignisses. Vgl. übrigens c. 60 und Einl. IX. — *πολίων, civitatum*. Von Inseln noch VIII 66 15.

4. *ἐς τὴν Αἴγυπτον*, nach Mittel- und Oberägypten; das Delta stand den Hellenen schon seit Psammetichos offen.

5. *κατ' ἐμπορίην*, wie bei der athenischen Heerfahrt nach Sicilien Thuk. VI 44 *πολλὰ δὲ καὶ ἄλλα πλοῖα καὶ ὁλκάδες ἑκούσιοι ξυνηκολούθουν τῇ στρατιᾷ ἐμπορίας ἕνεκα*. — *στρατευόμενοι* gilt auch von Nichtkombattanten (vgl. VII 99 6. IX 103 5. u. zu IV 28 7).

7. Statt *τῶν ἦν καὶ Σ.* sollte, wegen *ἄλλοι τε συχνοί* (4), eigent-

Digitized by Google



ἡμέας αὐτῶν, ἔχω δὲ χρέος εἰπεῖν οὐδὲν ἀνδρὸς Ἕλληνος. ὅμως δὲ αὐτὸν παράγετε ἔσω, ἵνα εἰδέω τί θέλων λέγει ταῦτα." παρῆγε ὁ πυλουρὸς τὸν Συλοσῶντα, στάντα δὲ ἐς μέσον εἰρώτων οἱ ἑρμηνέες τίς τε εἴη καὶ τί ποιήσας εὐεργέτης φησὶ εἶναι βασιλέος. εἶπε ὧν ὁ Συλοσῶν πάντα τὰ περὶ τὴν χλανίδα γενόμενα, καὶ ὡς αὐτὸς εἴη κεῖνος ὁ δούς. ἀμείβεται πρὸς ταῦτα Δαρεῖος „ὦ γενναιότατε ἀνδρῶν, σὺ κεῖνος εἶς ὃς ἐμοὶ οὐδεμίαν ἔχοντί κω δύναμιν ἔδωκας εἰ καὶ σμικρά, ἀλλ' ὅμ ἴση γε ἡ χάρις ὁμοίως ὡς εἰ νῦν κοθέν τι μέγα λάβοιμι· ἀντ' ὧν τοι χρυσὸν καὶ ἄργυρον ἄπλετον δίδωμι, ὡς μή κοτέ τοι μεταμελήσῃ Δαρεῖον τὸν Ὑστάσπεος εὖ ποιήσαντι." λέγει πρὸς ταῦτα ὁ Συλοσῶν „ἐμοὶ μήτε χρυσὸν ὦ βασιλεῦ μήτε ἄργυρον δίδου, ἀλλ' ἀνασωσάμενός μοι δὸς τὴν πατρίδα Σάμον, τὴν νῦν ἀδελφεοῦ τοῦ ἐμοῦ Πολυκράτεος ἀποθανόντος ὑπὸ Ὀροίτεω ἔχει δοῦλος ἡμέτερος· ταύτην μοι δὸς ἄνευ τε φόνου καὶ ἐξανδραποδίσιος." ταῦτα ἀκούσας Δαρεῖος ἀπέστελλε στρατιήν **141** τε καὶ στρατηγὸν Ὀτάνεα ἀνδρῶν τῶν ἑπτὰ γενόμενον, ἐντειλάμενος, ὅσων ἐδεήθη ὁ Συλοσῶν, ταῦτά οἱ ποιέειν ἐπιτελέα. καταβὰς δὲ ἐπὶ τὴν θάλασσαν ὁ Ὀτάνης ἔστελλε τὴν στρατιήν.

Τῆς δὲ Σάμου Μαιάνδριος ὁ Μαιανδρίου εἶχε τὸ **142** κράτος, ἐπιτροπαίην παρὰ Πολυκράτεος λαβὼν τὴν ἀρχήν· τῷ δικαιοτάτῳ ἀνδρῶν βουλομένῳ γενέσθαι οὐκ ἐξεγένετο. ἐπειδὴ γάρ οἱ ἐξαγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε· πρῶτα μὲν Διὸς ἐλευθερίου βωμὸν ἱδρύσατο καὶ

und ein Eleier (c. 132) an seinem Hofe.

16 f. *εἴη — φησί*: s. zu V 13 7.

22. *χάρις*, *beneficium*. *ὁμοίως ὡς*, *haud secus ac*.

24. *τοῦ Ὑστάσπεος*, mit Emphase zugefügt. Vgl. c. 69 20.

29. *δοῦλος*, der Schreiber des Polykrates, Mäandrios, den Syloson mit verächtlicher Beziehung auf seinen früheren Dienst so nennt, der aber in der That ein samischer Bürger (c. 123 4), wenn auch niederer Herkunft war (c. 142 24).

141. 2. *Ὀτάνης*: zu c. 68 3.

5. *ἔστελλε*, setzte für die Überfahrt in Bereitschaft.

142. 5. *ἐλευθερίου*, als Zeugen und Beschützers der hergestellten Freiheit. Vgl. zu I 44 5. — *βωμόν — καὶ τέμενος* zusammen, wie II. Θ 48 *ἔνθα δέ οἱ τέμενος βωμός τε θυήεις.*

Digitized by Google

τέμενος περὶ αὐτὸν οὗρισε τοῦτο τὸ νῦν ἐν τῷ προαστείῳ ἐστί· μετὰ δέ, ὥς οἱ ⟨ταῦτα⟩ ἐπεποίητο, ἐκκλησίην συναγείρας πάντων τῶν ἀστῶν ἔλεξε τάδε. „ἐμοί, ὡς ἴστε καὶ ὑμεῖς, σκῆπτρον καὶ δύναμις πᾶσα ἡ Πολυκράτεος ἐπιτέτραπται, καί μοι παρέχει νῦν ὑμέων ἄρχειν. ἐγὼ δὲ τὰ τῷ πέλας ἐπιπλήσσω, αὐτὸς κατὰ δύναμιν οὐ ποιήσω· οὔτε γάρ μοι Πολυκράτης ἤρεσκε δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ οὔτε ἄλλος ὅστις τοιαῦτα ποιέει. Πολυκράτης μέν νυν ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ, ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς ἰσονομίην ὑμῖν προαγορεύω. τοσάδε μέντοι δικαιῶ γέρεα ἐμεωυτῷ γενέσθαι, ἐκ μέν γε τῶν Πολυκράτεος χρημάτων ἐξαίρετα ἓξ τάλαντά μοι γενέσθαι, ἱρωσύνην δὲ πρὸς τούτοισι αἱρεῦμαι αὐτῷ τέ μοι καὶ τοῖσι ἀπ' ἐμεῦ αἰεὶ γινομένοισι τοῦ Διὸς τοῦ ἐλευθερίου· τῷ αὐτός τε ἱρὸν ἱδρυσάμην καὶ τὴν ἐλευθερίην ὑμῖν περιτίθημι.“ ὁ μὲν δὴ ταῦτα τοῖσι Σαμίοισι ἐπαγγέλλετο· τῶν δέ τις ἐξαναστὰς εἶπε „ἀλλ' οὐδ' ἄξιος εἶς σύ γε ἡμέων ἄρχειν, γεγονώς τε

6. *προαστείῳ*: zu c. 54 2.

8. *τῶν ἀστῶν*, der Vollbürger (vgl. 24).

9. Soph. O. C. 425 *ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει.* Vgl. VII 52 13.

11. Dasselbe Motiv VII 136 14.

15. *ἐς μέσον — τιθεὶς*: zu c. 80 5.

17. *μέν γε*, bei der Aufzählung wie I 145 7. — *ἐξαίρετα* 'vorab'. Der Rest sollte in die Staatskasse fliefsen.

18. *ἱρωσύνην*: vgl. IV 161 14. VII 153 16.

19. *τέ μοι;* die Hss. haben *τ' ἐμοί*. Die enklitische Form hat Bekker hergestellt, dem homerischen Gebrauche gemäfs, den H. in dieser Verbindung von *αὐτός* mit nachfolgendem personalen Pronomen nachahmt (z. B. II. *ε* 459 *αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος*). So noch IV 134 13. VII 28 11 und I 24 12. II 100 16. III 72 26. 145 17. V 49 10. 91 12. 98 13.

20. *τῷ* 'denn diesem'. — 'Ein analoger Fall kommt in einer Inschrift aus Gythion in Lakonien vor, bei Lebas Revue archéol. II p. 207. Ein verfallener Tempel des Apollon war von einem gewissen Philemon aus eigenen Mitteln wiederhergestellt, und deswegen wird das Priestertum darin ihm und seinen Nachkommen durch Volksbeschlufs erblich übergeben'. Schömann gr. Altert. II 402.

21. *περιτίθημι*: zu I 129 12. Simonides im Epigramm auf die Dreihundert: *Ἑλλάδι γὰρ σπεύδοντες ἐλευθερίην περιθεῖναι Κέλμεθ' ἁρπράντῳ χρώμενοι εὐλογίῃ.*

23 f. *γεγονὼς κακῶς*, ein *ἀνὴρ δημότης*. Vgl. zu c. 69 4. 140 29. — *ὀλέθρος*, ein Schimpfwort, = *ὀλέθρου ἄξιος καὶ ἀπωλείας* (Bekker Anecd. 401). Menander (IV 229 Mein.) gebraucht es als extremes Gegenteil von *εὐγενής* ('Lump'), und ebenso Demosth. g. Philipp. III 31

Digitized by Google

κακῶς καὶ ἐὼν ὄλεθρος· ἀλλὰ μᾶλλον ὅκως λόγον δώσεις τῶν μετεχείρισας χρημάτων.“ ταῦτα εἶπε ⟨ἀνὴρ⟩ ἐὼν **143** ἐν τοῖσι ἀστοῖσι δόκιμος, τῷ οὔνομα ἦν Τελέσαρχος. Μαιάνδρος δὲ νόῳ λαβὼν ὡς, εἰ μετήσει τὴν ἀρχήν, ἄλλος τις ἀντ᾽ αὐτοῦ τύραννος καταστήσεται, οὐ δὴ ἔτι ἐν νόῳ εἶχε μετιέναι αὐτήν, ἀλλ᾽ ὡς ἀνεχώρησε ἐς τὴν ἀκρόπολιν, μεταπεμπόμενος ἕνα ἕκαστον ὡς δὴ λόγον τῶν χρημάτων δώσων, συνέλαβε σφέας καὶ κατέδησε. οἱ μὲν δὴ ἐδεδέατο, Μαιάνδριον δὲ μετὰ ταῦτα κατέλαβε νοῦσος. ἐλπίζων δέ μιν ἀποθανέεσθαι ὁ ἀδελφεός, τῷ οὔνομα ἦν Λυκάρητος, ἵνα εὐπετεστέρως κατάσχῃ τὰ ἐν τῇ Σάμῳ πρήγματα, κατακτείνει τοὺς δεσμώτας πάντας· οὐ γὰρ δή, ὡς οἴκασι, ἐβούλοντο εἶναι ἐλεύθεροι.

Ἐπειδὴ ὦν ἀπίκοντο ἐς τὴν Σάμον οἱ Πέρσαι κατά- **144** γοντες Συλοσῶντα, οὔτε τίς σφι χεῖρας ἀνταείρεται, ὑπόσπονδοί τε ἔφασαν εἶναι ἕτοιμοι οἱ τοῦ Μαιανδρίου στασιῶται καὶ αὐτὸς Μαιάνδριος ἐκχωρῆσαι ἐκ τῆς νήσου. καταινέσαντος δ᾽ ἐπὶ τούτοισι Ὀτάνεω καὶ σπεισαμένου, τῶν Περσέων οἱ πλείστου ἄξιοι θρόνους θέμενοι κατεναντίον τῆς ἀκροπόλιος κατέατο. Μαιανδρίῳ δὲ τῷ **145** τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος, τῷ οὔνομα ἦν Χαρίλεως· οὗτος δ τι δὴ ἐξαμαρτὼν ἐν γοργύρῃ ἐδέδετο, καὶ δὴ τότε ἐπακούσας τε τὰ πρησσόμενα καὶ διακύψας διὰ τῆς γοργύρης, ὡς εἶδε τοὺς Πέρσας εἰρηναίως κατη-

Φιλίππου — οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ᾽ οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ᾽ ὀλέθρου Μακεδόνος. Vgl. auch *βλάβη, ζημία, pernicies, pestis.* — *ἀλλὰ μᾶλλον* erg. *ὅρα* (c. 36 7).

143. 4. *οὐ δή ἔτι, haud sane iam.*

6. *ἀκρόπολιν*: zu c. 54 2. — *ὡς δή — ὡς δῆθεν, scilicet tanquam* (c. 156 2. VII 17 8. IX 59 3).

10. *Λυκάρητος*: er erhielt später von den Persern die Herrschaft über die Insel Lemnos (V 27).

12. *ὡς οἴκασι*, ironisch, *videlicet.*

144. 2 f. *οὔτε — τε* ‘nicht, sondern’ (I 59 33).

7. *κατέατο*: zu c. 146 18.

145. 2. *ὑπομαργότερος*: zu c. 29 2.

3. *γοργύρη* (von *γοργός, horrendus*)· *δησωτήριον ὑπόγαιον* Schol. Da das Wort auch *ὑπόνομος δι᾽ οὗ ὕδατα ὑπεξῄει* (Bekk. Anecd. p. 233 u. s.) erklärt wird, darf man vermuten, der oben c. 60 beschriebene, am Fufse des Burges mündende Tunnel habe zugleich als Gefängnis gedient.

Digitized by Google

μένους, ἐβόα τε καὶ ἔφη λέγων Μαιανδρίῳ θέλειν ἐλθεῖν ἐς λόγους. ἐπακούσας δὲ ὁ Μαιάνδριος λύσαντας αὐτὸν ἐκέλευε ἄγειν παρ' ἑωυτόν. ὡς δὲ ἄχθη τάχιστα, λοιδορέων τε καὶ κακίζων μιν ἀνέπειθε ἐπιθέσθαι τοῖσι Πέρσῃσι, λέγων τοιάδε. „ἐμὲ μέν, ὦ κάκιστε ἀνδρῶν, ἐόντα σεωυτοῦ ἀδελφεὸν καὶ ἀδικήσαντα οὐδὲν ἄξιον δεσμοῦ δήσας γοργύρης ἠξίωσας· ὁρέων δὲ τοὺς Πέρσας ἐκβάλλοντάς τέ σε καὶ ἄνοικον ποιέοντας οὐ τολμᾷς τίσασθαι, οὕτω δή τι ἐόντας εὐπετέας χειρωθῆναι. ἀλλ' εἴ τοι σὺ σφέας καταρρώδηκας, ἐμοὶ δὸς τοὺς ἐπικούρους, καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος· αὐτὸν **146** δέ σε ἐκπέμψαι ἐκ τῆς νήσου ἕτοιμος εἰμί." ταῦτα δὴ ἔλεξε ὁ Χαρίλεως· Μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον, ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο ἀφροσύνης ἀπικόμενος ὡς δόξαι τὴν ἑωυτοῦ δύναμιν περιέσεσθαι τῆς βασιλέος, ἀλλὰ φθονήσας μᾶλλον Συλοσῶντι εἰ ἀπονητὶ ἔμελλε ἀπολάμψεσθαι ἀκέραιον τὴν πόλιν. ἐρεθίσας ὦν τοὺς Πέρσας ἤθελε ὡς ἀσθενέστατα ποιῆσαι τὰ Σάμια πρήγματα καὶ οὕτω παραδιδόναι, εὖ ἐξεπιστάμενος ὡς παθόντες οἱ Πέρσαι κακῶς ... προσεμπικρανέεσθαι ἔμελλον τοῖσι Σαμίοισι, εἰδώς τε ἑωυτῷ ἀσφαλέα ἔκδυσιν ἐοῦσαν ἐκ τῆς νήσου τότε ἐπεὰν αὐτὸς βούληται· ἐπεποίητο γάρ οἱ κρυπτὴ διῶρυξ ἐκ τῆς ἀκροπόλιος φέρουσα ἐπὶ θάλασσαν. αὐτὸς μὲν δὴ ὁ Μαιάνδριος ἐκπλέει ἐκ τῆς Σάμου· τοὺς δ' ἐπικούρους πάντας ὁπλίσας ὁ Χαρίλεως καὶ ἀναπετάσας τὰς πύλας, ἐξῆκε ἐπὶ τοὺς Πέρσας οὔτε προσδεκομένους τοιοῦτο οὐδὲν δοκέοντάς τε δὴ πάντα συμβεβάναι. ἐμπεσόντες δὲ οἱ ἐπίκουροι τῶν Περσέων τοὺς διφροφορευμένους τε καὶ λόγου πλείστου ἐόντας ἔκτει-

15. *εἴ τοι* 'wenn wirklich', wie II 120 8. V 39 8. *τοὺς ἐπικούρους*: s. c. 45 15.

146. 3. *μέν*, ohne entsprechendes *δέ*. S. zu I 131 4.

9. Es fehlt etwa *ὑπὸ τῶν ἐπικούρων*. — *προσ-*, aufser den eigentlichen Übelthätern.

15. *τὰς πύλας*, sc. *τῆς ἀκροπόλιος*.

16. *πάντα συμβεβάναι*, *convenisse omnia*.

18. *διφροφορευμένους· φορείοις φερομένους* Schol. Ein nach Analogie von *δορυφορεῖσθαι* gebildetes Wort, welches nicht sowohl den augenblicklichen Zustand des Sit-

Digitized by Google

νον. καὶ οὗτοι μὲν ταῦτα ἐποίευν, ἡ δὲ ἄλλη στρατιὴ ἡ Περσικὴ ἐπεβοήθεε· πιεζεύμενοι δὲ οἱ ἐπίκουροι ὀπίσω κατειλήθησαν ἐς τὴν ἀκρόπολιν. Ὀτάνης δὲ ὁ στρα- 147
τηγὸς ἰδὼν πάθος μέγα Πέρσας πεπονθότας, ἐντολὰς μὲν τὰς Λαρεῖός οἱ ἀποστέλλων ἐνετέλλετο, μήτε κτείνειν μηδένα Σαμίων μήτε ἀνδραποδίζεσθαι ἀπαθέα τε κακῶν ἀποδοῦναι τὴν νῆσον Συλοσῶντι, τουτέων μὲν τῶν ἐντολέων μεμνημένος ἐπελανθάνετο, δ δὲ παρήγγειλε τῇ στρατιῇ πάντα τὸν ἂν λάβωσι καὶ ἄνδρα καὶ παῖδα ὁμοίως κτείνειν. ἐνθαῦτα τῆς στρατιῆς οἱ μὲν τὴν ἀκρόπολιν ἐπολιόρκεον, οἱ δὲ ἔκτεινον πάντα τὸν ἐμποδὼν γινόμενον ὁμοίως ἔν τε ἱρῷ καὶ ἔξω ἱροῦ.

Μαιάνδριος δὲ ἀποδρὰς ἐκ τῆς Σάμου ἐκπλέει 148
ἐς Λακεδαίμονα· ἀπικόμενος δὲ ἐς αὐτὴν καὶ ἀνενεικάμενος τὰ ἔχων ἐξεχώρησε, ἐποίεε τοιάδε· ὅκως ποτήρια ἀργύρεά τε καὶ χρύσεα προθεῖτο, οἱ μὲν θεράποντες αὐτοῦ ἐξέσμων αὐτά, δ δ' ἂν τὸν χρόνον τοῦτον τῷ Κλεομένεϊ τῷ Ἀναξανδρίδεω ἐν λόγοισι ἐών, βασιλεύοντι Σπάρτης, προῆγέ μιν ἐς τὰ οἰκία· ὅκως δὲ ἴδοιτο Κλεομένης τὰ ποτήρια, ἀπεθώμαζέ τε καὶ ἐξεπλήσσετο· δ δὲ ἂν ἐκέλευε αὐτὸν ἀποφέρεσθαι αὐτῶν ὅσα βούλοιτο. τοῦτο καὶ δὶς καὶ τρὶς εἶπαντος Μαιανδρίου ὁ Κλεομένης δικαιότατος ἀνδρῶν γίνεται, ὃς λαβεῖν μὲν διδόμενα οὐκ ἐδικαίου, μαθὼν δὲ ὡς ἄλλοισι διδοὺς τῶν ἀστῶν εὑρήσεται τιμωρίην, βὰς ἐπὶ τοὺς ἐφόρους ἄμεινον εἶναι

zens bezeichnet als das Recht und die Gewohnheit sich von Stuhlträgern (*διφροφόροι*) begleiten zu lassen. Also etwa 'Stuhloffiziere', wie die heutigen 'Stabsoffiziere'. Der Zusatz *καὶ λόγου πλείστου ἐόντας* (vgl. c. 144 6) deutet an dafs dies Vorrecht und Sitte der höheren Offiziere war.

147. 2. *ἐντολάς*, st. *ἐντολέων* (6), ist dem Relativ assimiliert, wie IX 88 5. Der Artikel fehlt wie c. 29 11. Zur Sache s. c. 140 29 ff.

6. *μεμνημένος*, *sciens*, 'absichtlich'. I 51 *ἐπιστάμενος τὸ οὔνομα οὐκ ἐπιμνήσομαι*, IV 43 *ἑκὼν ἐπιλήσομαι*

8. *ὁμοίως* 'ohne Unterschied'.

148. 2. *ἀνενεικάμενος*, von der Küste nach Sparta.

3 f. *ὅκως — προθεῖτο*: zu I 17 10.

6. *Κλεομένεϊ*: s. V 39 ff.

8. *ἀπεθώμαζε*, besonders wegen der kunstvollen Arbeit. Es waren wohl Werke der samischen Schule; vgl. I 51 11. III 41 6.

11. *διδόμενα* 'Angebotenes'. S. zu VIII 114 4.

13. *τιμωρίην*, 'Hilfe', gegen die Perser.

Digitized by Google

ἔφη τῇ Σπάρτῃ τὸν ξεῖνον τὸν Σάμιον ἀπαλλάσσεσθαι ἐκ τῆς Πελοποννήσου, ἵνα μὴ ἀναπείσῃ ἢ αἰτὸν ἢ ἄλλον τινὰ Σπαρτιητέων κακὸν γενέσθαι. οἱ δ' ὑπακούσαντες
149 ἐξεκήρυξαν Μαιάνδριον. τὴν δὲ Σάμον [σαγηνεύσαντες] οἱ Πέρσαι παρέδοσαν Συλοσῶντι ἔρημον ἐοῦσαν ἀνδρῶν, ὑστέρῳ μέντοι χρόνῳ καὶ συγκατοίκισε αὐτὴν ὁ στρατηγὸς Ὀτάνης ἔκ τε ὄψιος ὀνείρου καὶ νούσου ἥ μιν κατέλαβε νοσῆσαι τὰ αἰδοῖα.

150 Ἐπὶ δὲ Σάμον στρατεύματος ναυτικοῦ οἰχομένου Βαβυλώνιοι ἀπέστησαν, κάρτα εὖ παρεσκευασμένοι· ἐν ὅσῳ γὰρ ὁ τε Μάγος ἦρχε καὶ οἱ ἑπτὰ ἐπανέστησαν, ἐν τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην παρεσκευάζοντο. καί κως ταῦτα ποιεῦντες ἐλάνθανον. ἐπειτε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε· τὰς μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος μίαν προσεξαιρέετο τὴν ἐβούλετο ἐκ τῶν ἑωυτοῦ οἰκίων, τὰς

149. *σαγηνεύσαντες* stimmt nicht recht zu c. 147 6 ff. Es bezeichnet in figürlicher Weise eine den Persern eigentümliche Art des Menschenfanges, die dem Fischfange mit dem Zugnetze (*σαγήνη*) ähnelte. Aber in dieser Bedeutung war es so wenig gemeinverständlich, dafs Her. VI 31 eine besondere Erklärung für nötig hält. Und aus jener Stelle scheint es eingeschoben zu sein.

2. Die Entvölkerung der Insel schrieben andere dem Syloson selber zu. Strab. p. 638 *πικρῶς δ' ἦρξεν, ὥστε καὶ ἐλειπάνδρησεν ἡ πόλις· κἀκεῖθεν ἐκπεσεῖν συνέβη τὴν παροιμίαν 'ἐκτὶ Συλοσῶντος εὐρυχωρίη'* (iambischer Trimeter).

3. *συγκατοίκισε* 'half bevölkern', dadurch nämlich dafs er Hellenen aus den Städten seiner Satrapie hinsandte. Die Bürgerschaft suchte sich später durch Aufnahme von Sklaven zu ergänzen. Photios lex. v. *Σαμίων. καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων, ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ.*

5. *νοσῆσαι*, ist lose an *κατέλαβε* angeschlossen; vgl. zu c. 65 4.

Empörung und Eroberung Babylons. Aufopferung des Zopyros (c. 150—160).

150. Nach H.'s Darstellung stehen die Bestrafung des Orötes (c. 128), die Heilung des Dareios durch Demokedes (c. 129 f.), die Sendung der Kundschafter (c. 133 ff.), die Eroberung von Samos (c. 139 ff.) und der babylonische Aufstand in chronologischer Aufeinanderfolge. Dieser letztere müfste demnach eine geraume Zeit nach des Königs Thronbesteigung (521 v. Chr.) erfolgt sein. Dem widerspricht aber der Bericht des Dareios (zu c. 151 2), der ihn gleich in den Anfang seiner Regierung setzt. Somit wird auch die Reihenfolge der übrigen Ereignisse keine streng chronologische sein; vgl. zu c. 127 2.

Digitized by Google

δὲ λοιπὰς ἁπάσας συναγαγόντες ἀπέπνιξαν· τὴν δὲ μίαν ἕκαστος σιτοποιὸν ἐξαιρέετο· ἀπέπνιξαν δὲ αὐ- 10
τάς, ἵνα μὴ σφέων τὸν σῖτον ἀναισιμώσωσι. πυθόμε- 151
νος δὲ ταῦτα ὁ Δαρεῖος καὶ συλλέξας πᾶσαν τὴν ἑωυτοῦ δύναμιν ἐστρατεύετο ἐπ' αὐτούς, ἐπελάσας δὲ ἐπὶ τὴν Βαβυλῶνα ἐπολιόρκεε φροντίζοντας οὐδὲν τῆς πολιορκίης. ἀναβαίνοντες γὰρ ἐπὶ τοὺς προμαχεῶνας τοῦ 5
τείχεος οἱ Βαβυλώνιοι κατωρχέοντο καὶ κατέσκωπτον Δαρεῖον καὶ τὴν στρατιὴν αὐτοῦ, καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος. „τί κάτησθε ὦ Πέρσαι ἐνθαῦτα, ἀλλ' οὐχ ἁπαλλάσσεσθε; τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι." τοῦτο εἶπε τῶν τις Βαβυλωνίων 10

151. 2 ff. Dareios in der Inschrift von Behistân erzählt Col. I Z. 16 ff. 'Als ich Gaumâta den Mager getötet hatte, da war ein Mann, *Âtrina* mit Namen, ein Sohn des Upadarma; der lehnte sich auf in Susiana. Er sagte so zu den Leuten: ich bin König in Susiana. Darauf waren die Bewohner Susianas aufrührerisch, sie gingen zu jenem Âtrina über; er war König in Susiana. Ferner war ein Mann, ein Babylonier, Namens *Naditabira*, Sohn des Aina ... der lehnte sich in Babylon auf. Also belog er die Leute: ich bin Nabukudracara, der Sohn des Nabunita (vgl. zu I 188 4). Dann ging das babylonische Volk ganz zu jenem Naditabira: Babylon wurde aufrührerisch; er ergriff die Herrschaft in Babylon. Darauf schickte ich (ein Heer) nach Susiana; dieser Âtrina wurde gebunden zu mir hergeführt; ich tötete ihn. Darauf zog ich nach Babylon gegen jenen Naditabira, der sich Nabukudracara nannte. Das Heer des N. hielt den Tigris; dort stellte er sich auf und war auf Schiffen. Darauf warf ich mein Heer auf .. Ich machte einen Teil von .. getragen und brachte .. eines Teiles; Auramazda brachte mir Beistand, durch die Gnade des Aur. setzte ich über den Tigris. Dort schlug ich das Heer des N. sehr. Am 27. des Monates Âtriyâdiya, da war es, da lieferten wir die Schlacht. Darauf zog ich nach Babylon. Als ich gegen Babylon herankam, da ist eine Stadt mit Namen Zâzâna am Euphrat; dorthin war dieser N., welcher sich Nabukudracara nannte, mit seinem Heere gegangen, um gegen mich eine Schlacht zu liefern. Darauf lieferten wir eine Schlacht; Auramazda gab mir Beistand, durch die Gnade des Aur. schlug ich das Heer des N. sehr. Der Feind wurde in das Wasser getrieben, das Wasser riſs ihn fort. Am 2. Tage des Monates Anâmaka, da war es, da lieferten wir die Schlacht. Darauf ging N. mit seinen getreuen Soldaten nach Babylon, dann ging ich nach Babylon, durch die Gnade des Auramazda nahm ich B. ein und jenen Naditabira gefangen, hierauf tötete ich jenen N. in B.'

4. *φροντίζοντας οὐδέν*: zu I 68 26. Soph. Aut. 433 *θηρώμεθ' εὐθὺς οὐδὲν ἐκπεπληγμένην*.

6. *κατωρχέοντο καὶ κατέσκωπτον* 'verhöhnten mit Geberden und Worten'.

10. Arist. de gen. an. II 8 *τὸ τῶν ἡμιόνων γένος ὅλον ἄγονον ἐστὶ ... γεννᾷ δ' ὁ ἄρρην ἐπταέτης ὤν*

Digitized by Google

152 οὐδαμὰ ἐλπίζων ἂν ἡμίονον τεκεῖν. ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη ὁ Δαρεῖός τε ἤσχαλλε καὶ ἡ στρατιὴ πᾶσα οὐ δυνατὴ ἐοῦσα ἑλεῖν τοὺς Βαβυλωνίους. καίτοι πάντα σοφίσματα καὶ πάσας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς Δαρεῖος· ἀλλ' οὐδ' ὡς ἐδύνατο ἑλεῖν σφεας, ἄλλοισί τε σοφίσμασι πειρησάμενος, καὶ δὴ καὶ τῷ Κῦρος εἷλε σφέας, καὶ τούτῳ ἐπειρήθη. ἀλλὰ γὰρ δεινῶς ἦσαν ἐν φυλακῇσι οἱ Βαβυλώνιοι, **153** οὐδὲ σφέας οἷός τε ἦν ἑλεῖν. ἐνθαῦτα εἰκοστῷ μηνὶ Ζωπύρῳ τῷ Μεγαβύζου, τούτου ὃς τῶν ἑπτὰ ἀνδρῶν ἐγένετο τῶν τὸν Μάγον κατελόντων, τούτῳ τῷ Μεγαβύζου παιδὶ Ζωπύρῳ ἐγένετο τέρας τόδε· τῶν οἱ σιτοφόρων ἡμιόνων μία ἔτεκε. ὡς δέ οἱ ἐξαγγέλθη καὶ ὑπὸ ἀπιστίης αὐτὸς ὁ Ζώπυρος εἶδε τὸ βρέφος, ἀπείπας τοῖσι ἰδοῦσι μηδενὶ φράζειν τὸ γεγονὸς ἐβουλεύετο. καί οἱ πρὸς τὰ τοῦ Βαβυλωνίου ῥήματα, ὃς κατ' ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέκωσι, τότε τὸ τεῖχος ἁλώσεσθαι, πρὸς ταύτην τὴν φήμην Ζωπύρῳ ἐδόκεε εἶναι ἁλώσιμος ἡ Βαβυλών· σὺν γὰρ θεῷ ἐκεῖνόν **154** τε εἰπεῖν καὶ ἑωυτῷ τεκεῖν τὴν ἡμίονον. ὡς δέ οἱ ἐδόκεε μόρσιμον εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι, προσελθὼν Δαρείου ἀπεπυνθάνετο εἰ περὶ πολλοῦ κάρ-

μόνος, ὡς φασίν. ἀλλ' ἡ θήλεια ἄγονος ὅλως, καὶ αὕτη τῷ μὴ ἐκτρέφειν εἰς τέλος, ἐπεὶ ἤδη κύημα ἔσχεν ἡμιονος. hist. an. VI 24 *αἱ δὲ ἐν τῇ Συρίᾳ τῇ ὑπὲρ Φοινίκης ἡμίονοι καὶ ὀχεύονται καὶ τίκτουσιν.* Vgl. VII 57 8.

152. 6 f. *πειρησάμενος — ἐπειρήθη*: zu I 85 5.

7. S. I 191.

9. Zu *οὐδέ* vgl. V 39 15.

153. 2. Ktesias Exc. Pers. 22, der den Aufstand unter Xerxes setzt, nennt statt des Zopyros dessen Sohn Megabyzos (s. c. 160 12), beschreibt übrigens die Belagerung und Einnahme, das Wunder ausgenommen, ähnlich wie H., fügt aber noch hinzu dafs des Megabyzos Vater als Satrap von Babylon von den Empörern ermordet worden sei. — *τούτου ὅς*: vgl. I 59 28. III 134 27.

3. Die besonders starke Betonung des persönlichen Verhältnisses läfst merken dafs der Autor eine abweichende Überlieferung nicht gelten lassen will.

4. *οἱ*, wie c. 3 10.

8. *πρός* 'mit Rücksicht auf'.

10. *πρὸς ταύτην τὴν φήμην* erneuert *πρὸς τὰ — ῥήματα*. Zu *Ζωπύρῳ* nach *οἱ* (8) vgl. c. 129 14.

11. *σὺν θεῷ* 'auf göttliche Eingebung', *divinitus*. S. zu I 62 15.

Digitized by Google

τα ποιέεται τὴν Βαβυλῶνα ἑλεῖν. πυθόμενος δὲ ὡς πολλοῦ τιμῷτο, ἄλλο ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ ἑλὼν αὐτὴν καὶ ἑωυτοῦ τὸ ἔργον ἔσται· κάρτα γὰρ ἐν τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμῶνται. ἄλλῳ μέν νυν οὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶναί μιν ὑποχειρίην ποιῆσαι, εἰ δ' ἑωὐτὸν λωβησάμενος αὐτομολήσειε ἐς αὐτούς. ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμενος ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ ἑωυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ τὴν κόμην κακῶς περικείρας καὶ μαστιγώσας ἦλθε παρὰ Δαρεῖον. Δα- 155
ρεῖος δὲ κάρτα βαρέως ἤνεικε ἰδὼν ἄνδρα δοκιμώτατον λελωβημένον, ἔκ τε τοῦ θρόνου ἀναπηδήσας ἀνέβωσέ τε καὶ εἴρετό μιν ὅστις εἴη ὁ λωβησάμενος καὶ ὅ τι ποιήσαντα. ὁ δὲ εἶπε „οὐκ ἔστι οὗτος ὠνήρ, ὅτι μὴ σύ, τῷ ἐστὶ δύναμις τοσαύτη ἐμὲ δὴ ὧδε διαθεῖναι· οὐδέ τις ἄλλος ἀνθρώπων ὦ βασιλεῦ τάδε ἔργασται, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν, δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν." ὁ δ' ἀμείβετο „ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς πολιορκεομένους σεωυτὸν ἀνηκέστως διαθεῖναι. τί δ', ὦ μάταιε, λελωβημένου σεῦ θᾶσσον οἱ πολέμιοι παραστήσονται; κῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν σεωυτὸν

154. 7. *ἀγαθοεργίαι* 'Grofsthaten, Verdienste' (c. 160 1, vgl. VIII 85 12). — *ἐς τὸ πρόσω μεγάθεος, ad augendam dignitatem*, bezeichnet Richtung und Wirkung des *τιμῶνται*, 'werden durch Erhöhung des Ansehens und des Standes belohnt'. S. c. 160 8 ff. Zum Ausdruck I 5 *τὸ πρόσω τοῦ λόγου* 'Fortsetzung der Darstellung', III 56 *τὸ πρόσω τῶν πρηγμάτων* 'Fortgang der Unternehmung'. Doch ist vielleicht *αἱ ἐς* zu lesen und *μεγάθεος* auf das Reich zu beziehen.

10. *ἐν ἐλαφρῷ ποιησάμενος*: zu I 118 9; erg. *ἑωυτὸν λωβᾶσθαι*.

12. Vgl. zu c. 69 19. — *κακῶς*: vgl. II 121 *δ* 29, und VI 9 14.

13. Zu *μαστιγώσας* ergänzt sich *ἑωυτόν* aus *ἑωυτοῦ*.

155. 8 f. *δεινόν τι ποιεύμ.*: zu I 127 2. V 33 9. — *Ἀσσυρίους*: zu I 178 2. — *Πέρσῃσι καταγελᾶν*: zu c. 37 5.

12 f. *παραστήσονται*: zu c. 45 14. — *κῶς — φρενῶν* erklärt sich aus VI 12 *παραφρονήσαντες καὶ ἐκπλώσαντες ἐκ τοῦ νόου*. Der Ausdruck scheint einem Tragiker entlehnt. Vgl. Eurip. Bakch. 850 *πρῶτα δ' ἔκστησον φρενῶν, Ἐνεὶς ἐλαφρὰν λύσσαν· ὡς φρονῶν μὲν εὖ Οὐ μὴ θελήσει θῆλυν ἐνδῦναι στολήν, Ἔξω δ' ἐλαύνων τοῦ φρονεῖν ἐνδύσεται*. Der Prosa ist *ἐξίστασθαι τοῦ φρονεῖν* geläufig.

Digitized by Google

διαφθείρας;" ὁ δὲ εἶπε „εἰ μέν τοι ὑπερετίθεα τὰ ἔμελλον ποιήσειν, οὐκ ἄν με περιεῖδες· νῦν δ' ἐπ' ἐμεωυτοῦ βαλόμενος ἔπρηξα. ἤδη ὦν ἦν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα. ἐγὼ μὲν γὰρ ὡς ἔχω αὐτομολήσω ἐς τὸ τεῖχος καὶ φήσω πρὸς αὐτοὺς ὡς ὑπὸ σεῦ τάδε ἔπαθον· καὶ δοκέω, πείσας σφέας ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. σὺ δέ, ἀπ' ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς δεκάτην ἡμέρην τῆς σεωυτοῦ στρατιῆς, τῆς οὐδεμία ἔσται ὥρη ἀπολλυμένης, ταύτης χιλίους τάξον κατὰ τὰς Σεμιράμιος καλεομένας πύλας· μετὰ δὲ αὖτις ἀπὸ τῆς δεκάτης ἐς ἑβδόμην ἄλλους μοι τάξον δισχιλίους κατὰ τὰς Νινίων καλεομένας πύλας· ἀπὸ δὲ τῆς ἑβδόμης διαλείπειν εἴκοσι ἡμέρας, καὶ ἔπειτα ἄλλους κάτισον ἀγαγὼν κατὰ τὰς Χαλδαίων καλεομένας πύλας, τετρακισ-

14. *διαφθείρας* 'verstümmelnd' (I 34 6. IX 113 4). — *ὑπερετίθεα* 'anvertraute' (I 8 6).

15 ff. *ἐπ' ἐμεωυτοῦ βαλόμενος*: zu c. 71 19. — *ἦν μὴ τῶν σῶν δεήσῃ*: der Zusammenhang erfordert den Sinn 'wenn es an dir nicht fehlen wird', *nisi quid tuarum defuerit partium*. Aber der Wortlaut nötigt zu der Erklärung, *nisi opus fuerit tuis partibus* oder *tua opera*. Wahrscheinlich schrieb H.: *τι τῶν σῶν ἐνδεήσῃ*, wie VII 18 *ποίεε δὲ οὕτω ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεήσει μηδέν*. Zur ganzen Wendung vgl. auch VIII 140 *α ἦν μὴ τὸ ὑμέτερον ἀντίον γένηται*. — *αἱρέομεν*: vom Präsens zu c. 85 14. — *ὡς ἔχω* 'ohne weiteres' (I 24 23).

20. *στρατιῆς*, Führung eines Heeres; vgl. IX 109 17.

21 ff. *ἐς δεκάτην* 'am zehnten', wie I 77 *ἐς πέμπτον μῆνα συλλέγεσθαι*, 126 *ἐς τὴν ὑστεραίην παρεῖναι*. VI 86 *β ταῦτα ὑμῖν ἀναβάλλομαι κυρώσειν ἐς τέταρτον μῆνα ἀπὸ τοῦδε*, IX 52 *ἐούσης τῆς ὥρης ἐς τὴν συνεκέετό σφι ἀπαλλάσσεσθαι*, V 49 50. VI 88 9. 90 1. 126 10. 128 2. VII 8 *δ* 3. IX 46 4. Ursprünglich und in der Regel steht *ἐς* in dieser Weise, wenn bestimmte Termine und Fristen angegeben werden, bis zu denen etwas geschehen soll oder wird. — Mit *τῆς σεωυτοῦ στρατιῆς*, 'von derjenigen deiner Heeresabteilungen', deutet Zopyros auf die Nicht-Perser, wie er unten 31 ff. *τὴν μὲν ἄλλην στρατιήν* und *Πέρσας δέ* unterscheidet. — *οὐδεμία*: eigentlich *μηδεμία*. Vgl. VII 149 15. 172 16.

24. Die Stadt hatte überhaupt hundert Thore (I 179 13). Von den fünf, die H. hier namhaft macht, scheint das der *Semiramis* in dem westlichen älteren Teile der Stadt, das der *Niniviten* (*Νινίων*) nach Ninive zu im Norden, das der *Chaldäer* im Süden, das *Belos-thor* im Südwesten in der Nähe des Belostempels, das *kissische* endlich im Osten an der Strafse nach Susa gestanden zu haben.

27. *διαλείπειν — κάτισον*, wie 32 f. *κελεύειν — τάξον*. IV 126 *μάχεσθαι — ἐλθέ*. Vgl. zu c. 134 23.

Digitized by Google

χιλίους. ἐχόντων δὲ μήτε οἱ πρότεροι μηδὲν τῶν ἀμυνόντων μήτε οὗτοι πλὴν ἐγχειρίδιον· τοῦτο δὲ ἐᾶν ἔχειν. μετὰ δὲ τὴν εἰκοστὴν ἡμέρην ἰθέως τὴν μὲν ἄλλην στρατιὴν κελεύειν πέριξ προσβάλλειν πρὸς τὸ τεῖχος, Πέρσας δέ μοι τάξον κατά τε τὰς Βηλίδας καλεομένας καὶ Κισσίας πύλας. ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο μεγάλα ἔργα ἀποδεξαμένου, τά τε ἄλλα ἐπιτρέψονται ἐμοὶ Βαβυλώνιοι καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανάγρας· τὸ δὲ ἐνθεῦτεν ἐμοί τε καὶ Πέρσῃσι μελήσει τὰ δεῖ ποιέειν."

156 Ταῦτα ἐντειλάμενος ἦιε ἐπὶ τὰς πύλας, ⟨πολλὰ⟩ ἐπιστρεφόμενος ὡς δὴ ἀληθέως αὐτόμολος. ὁρῶντες δὲ ἀπὸ τῶν πύργων οἱ κατὰ τοῦτο τεταγμένοι κατέτρεχον κάτω καὶ ὀλίγον τι παρακλίναντες τὴν ἑτέρην πύλην εἰρώτων τίς τε εἴη καὶ ὅτευ δεόμενος ἥκοι. ὁ δέ σφι ἡγόρευε ὡς εἴη τε Ζώπυρος καὶ αὐτομολέοι ἐς ἐκείνους. ἦγον δή μιν οἱ πυλουροί, ταῦτα ὡς ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων· καταστὰς δὲ ἐπ' αὐτὰ κατοικτίζετο, φὰς ὑπὸ Δαρείου πεπονθέναι τὰ ἐπεπόνθεε ὑπ' ἑωυτοῦ, παθεῖν δὲ ταῦτα διότι συμβουλεῦσαί οἱ ἀπανιστάναι τὴν στρατιήν, ἐπείτε δὴ οἰδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος. „νῦν τε" ἔφη λέγων „ἐγὼ ὑμῖν ὦ Βαβυλώνιοι ἥκω μέγιστον ἀγαθόν, Δαρείῳ δὲ καὶ τῇ στρατιῇ καὶ Πέρσῃσι μέγιστον κακόν· οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται· ἐπίσταμαι δ'

29. *ἀμυνόντων*, sc. *ὅπλων*, = *ἀμυντηρίων*.

33 f. Ist die zu Z. 24 aufgestellte Verteilung der genannten Thore richtig, so lagen das kissische und das Belos-thor in entgegengesetzter Richtung, jenes in der Oststadt, dieses in der Weststadt. Zopyros gedachte dann diese beiden Hälften der Stadt, deren jede ein abgesondertes Ganze bildete (I 180. 185 f.), zugleich zu überrumpeln.

156. *ἐπιστρεφόμενος*: um zu sehen, ob er verfolgt würde. — *ὡς δή*: zu c. 143 6.

5. *τίς — καὶ ὅτευ*: zu I 35 9.

7. *τὰ κοινά* = *τὴν ἐκκλησίην*, wie *τὸ κοινόν* c. 80 30 u. s. Dafs ein König in der Stadt war (zu c. 151 2), wufste H. wohl nicht. — *καταστάς*: zu c. 46 2.

10. *διότι συμβουλεῦσαι*: wegen des Infinitivs zu I 24 30. Andere schreiben *συμβουλεύσαι*.

11. *ἐπείτε*, *quoniam*, *quando* (I 39 9).

15. *καταπροΐξεται*: zu c. 36 33.

Digitized by Google

157 αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων." τοιαῦτα ἔλεγε. οἱ δὲ Βαβυλώνιοι ὁρῶντες ἄνδρα τῶν ἐν Πέρσῃσι δοκιμωτάτων ῥινός τε καὶ ὥτων ἐστερημένον, μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν ἀληθέα καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἑτοιμοι ἦσαν τῶν ἐδέετο σφέων· ἐδέετο δὲ στρατιῆς. ὁ δὲ ἐπείτε ⟨παρ'⟩ αὐτῶν τοῦτο παρέλαβε, ἐποίεε τάδε περ τῷ Δαρείῳ συνεθήκατο· ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν στρατιὴν τῶν Βαβυλωνίων καὶ κυκλωσάμενος τοὺς χιλίους, τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους κατεφόνευσε. μαθόντες δέ μιν οἱ Βαβυλώνιοι τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὅμοια, πάγχυ περιχαρέες ἐόντες πᾶν δὴ ἑτοιμοι ἦσαν ὑπηρετέειν. ὁ δὲ διαλιπὼν ἡμέρας τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς δισχιλίους. ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον οἱ Βαβυλώνιοι πάντες Ζώπυρον εἶχον ἐν στόμασι αἰνέοντες. ὁ δὲ αὖτις διαλιπὼν τὰς συγκειμένας ἡμέρας ἐξήγαγε ἐς τὸ προειρημένον, καὶ κυκλωσάμενος κατεφόνευσε τοὺς τετρακισχιλίους. ὡς δὲ καὶ τοῦτο κατέργαστο, πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ στρατάρχης τε οὗτός σφι καὶ τειχοφύλαξ ἀπεδέδεκτο.
158 προσβολὴν δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου πέριξ τὸ τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώπυρος ἐξέφαινε. οἱ μὲν γὰρ Βαβυλώνιοι ἀναβάντες ἐπὶ

16. *πάσας — βουλευμάτων* 'alle Gänge und Schliche seiner Pläne' d. i.: 'seine Pläne nach allen Seiten'. Noch einmal VII 234 15, dafür IX 2 10 blofs *βουλεύματα*. Die Fülle des Ausdrucks (vgl. zu I 95 7) erinnert an den tragischen Stil.

157. 4. Man erwartet *καὶ μάστιξι*. Aber ebenso Thuk. II 4 *τῶν οἰκετῶν ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων, λίθοις τε καὶ κεράμῳ βαλλόντων*.

17. *εἶχον ἐν στόμασι* allein konnte auch übeln Sinn haben (s. VI 136 2), daher *αἰνέοντες*.

21. *πάντα ἦν* 'galt alles', *omnium instar fuit* (VII 156 4). Demosth. de cor. 43 *οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡροῦντο· πάντ' ἐκεῖνος ἦν αὐτοῖς*. Theokrit. XIV 47 *λύκος νῦν πάντα*. Liv. XL 11 *Demetrius iis unus omnia est, cum iam regem vivo patre adpellant*. Vgl. *τὰ πρῶτα εἶναι* (VI 100 13), und zu I 122 12.

22. *τειχοφύλαξ*, Befehlshaber der Befestigungen.

Digitized by Google

τὸ τεῖχος ἡμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλουσαν, ὁ δὲ Ζώπυρος τάς τε Κισσίας καὶ Βηλίδας καλεομένας πύλας ἀναπετάσας ἐσῆκε τοὺς Πέρσας ἐς τὸ τεῖχος. τῶν δὲ Βαβυλωνίων οἱ μὲν εἶδον τὸ ποιηθέν, οὗτοι μὲν ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ ἱρόν· οἱ δὲ οὐκ εἶδον, ἔμενον ἐν τῇ ἑωυτοῦ τάξι ἕκαστος, ἐς ὃ δὴ καὶ οὗτοι ἔμαθον προδεδομένοι.

Βαβυλὼν μέν νυν οὕτω τὸ δεύτερον αἱρέθη. Δα- 159
ρεῖος δὲ ἐπείτε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μὲν σφέων τὸ τεῖχος περιεῖλε καὶ τὰς πύλας πάσας ἀπέσπασε· τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα ἐποίησε τούτων οὐδέτερον· τοῦτο δὲ ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. ὡς δ' ἔξουσι γυναῖκας οἱ Βαβυλώνιοι ἵνα σφι γενεὴ ὑπογίνηται, τάδε Δαρεῖος προϊδὼν ἐποίησε· τὰς

158. 8. *τοῦ Βήλου*: s. I 181.

159. *τὸ δεύτερον*: das erste Mal von Kyros (I 191). Die Stadt fiel bald darauf noch einmal ab. Dareios Behist. III 13: 'Während ich in Persien und Medien war (vgl. zu I 130 7), da wurden die Babylonier zum zweitenmale von mir abtrünnig. Ein Mann, *Arakha* mit Namen, ein Armenier, Sohn des Handita, der lehnte sich auf. Es ist eine Gegend in Babylon mit Namen Dubâna; von dort aus lehnte er sich auf. Also log er: ich bin *Nabukudracara*, Sohn des Nabunita. Darauf wurden die Babylonier von mir abtrünnig und gingen zu diesem Arakha über; er nahm Babylon; er war Kônig in B. Darauf schickte ich ein Heer nach B.; Viñdafrâ mit Namen, ein Meder, mein Diener, den machte ich zum Obersten. Also sprach ich zu ihnen: Ziehet hin, schlaget das Heer in Babylon, welches sich nicht mein nennt. Darauf zog Viñdafrâ mit dem Heere nach B. Auramazda brachte mir Beistand; durch die Gnade des Aur. nahm Viñdafrâ Babylon ein'.

3. *τὸ τεῖχος*, gewifs nur teilweise, da H. selber die Mauern noch wie aus eigener Anschauung beschrieben haben will (I 179. 181). Es genügte sie streckenweise einzureifsen, die Türme und Brustwehren zu demolieren und den Thorverschlufs zu beseitigen. Dies letztere geschah durch Ausheben der (erzenen, I 179 14) Thorflügel. Zu *ἀπέσπασε* vgl. I 17 *οἰκήματα — οὔτε κατέβαλλε οὔτε ἐνεπίμπρη οὔτε θύρας ἀπέσπα*. Siehe übrigens Einleitung S. XLI N.

4. Der Chaldäer Berosos schrieb die Schleifung eben dem Kyros zu, bei Joseph. c. Apion. I 20 *Κῦρος Βαβυλῶνα καταλαβόμενος καὶ συντάξας τὰ ἔξω τῆς πόλεως τείχη* (vgl. Her. I 181 2) *κατασκάψαι διὰ τὸ λίαν αὐτῷ πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν, κτλ.*

8f. *ὡς δ' ἔξουσι*, abhängig von *προϊδών*.

Digitized by Google

ἀπ' ἐκείνων. ὡς καὶ μετ' ὀλίγον δηλώσει. ἐπέταξεν οἱ Βαβυλώνια τῷ σατράπῃ· ἐκτισε πόλιν Βαβυλῶνα τοῖς ἐπιχωρίοις ἔθνεσι γενέσθαι ἐς Βαβυλῶνα ἀποικίαν. ὅσας δὲ ἐκέκτητο ἐπιστήμας, ὅσα πάντα μαθεῖν τὰ χρειώδεστατα τῶν γραμμάτων σπεύδει· ἐκ τούτων δὲ τῶν γραμμάτων οἱ τὴν Βαβυλῶνα γράψαι.

160 Ζωπύρου δὲ οὐδεὶς ἐφαίνετο Πέρσαις ἐπιφερέστερος πλὴν Δαρείου χωρὶς οὗτος τῶν ἔσωθεν γενομένων οὗτος τῶν πρώτων, ὅτι μὴ Κῦρος μόνος· τοῦτον γὰρ οὐδεὶς Περσῶν ἔξισοῖ τοῖς ἄλλοις ἀπάντων. πλούτου δὲ Δαρεῖον ἔσχεν μείζονα τινὸς ἀποφαίνεσθαι. ὡς δηλώσει ὁ Ζωπύρου εἶναι ἀποδέξασθαι μᾶλλον ἢ Βαβυλῶνός οἱ ἔθνεσι πρὸς τῷ ἑαυτοῦ προσγενέσθαι. ἐτίμησε δὲ μὴν μεγάλως καὶ γὰρ δῶρά οἱ ἀπὸ τοῦ ἔτους ἐδίδου τοῦτα τὰ Πέρσῃσι ἔστι τιμιώτατα. καὶ τὴν Βαβυλῶνά οἱ ἔδοσαν ἀτελέα νεμέσθαι μέχρι τῆς ἑαυτοῦ ζωῆς, καὶ ἄλλα πολλὰ ἐπέδωκε. Ζωπύρου δὲ τοῦτον γίνεται Μεγάβυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ

131. *ὅσας δὲ*: zu I 157 5. — *κεφαλαίωσε* Gesamtzahl". Dabei der Genius *κεντε στατιόνεν*. cf. *πέντε στατιόνες* (vgl. VII 69 4. 184 6 u. 2). VIII 46 7. IX 29 12. Caes. b. g. II 33 *capitum numerus ad eum relatus est milium quinquaginta trium.*

160. *ἀγαθοεργίην*: zu c. 154 7.

3 f. Kyros galt den Persern nicht bloß als der Gründer ihrer Nationalgröße, sondern auch das Ideal menschlicher und fürstlicher Vollkommenheit; vgl. I 95. 122. III 75. 89. Xenoph. Kyr. I 2 *φῶναι δὲ ὁ Κῦρος λέγεται καὶ ἄδεται ἔτι καὶ νῦν ἐπὶ τῶν Βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φίλος θρασύτατος καὶ φιλονικότατος καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ὑπομεῖναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα.*

5. *γνώμην τήνδε*: zu c. 61 2. Ein ähnliches Wort des Dareios s. IV 143.

9. *ταῦτα τά*: wie oben c. 153 2. — *τιμιώτατα*: zu c. 84 5.

10 f. *ἀτελέα*: der Satrap brauchte in diesem Falle von den Einkünften, die er aus der Provinz zog, die auf sie fallende Steuerquote — in Babylon 1000 Talente, c. 92 2 — an den königlichen Fiskus nicht abzuführen, sondern durfte sie für sich behalten. Babylon war überdies schon die reichste Satrapie (I 192). — *μέχρι — ζόης = μέχρι οὗ ἂν ζῶν*. — *ἑαυτοῦ*: auf das nahe *οἱ* bezogen. S. zu II 136 15.

12. *γενεαί*: das Präsens wie IV 78 4 u. 6. 149 5. 160 1. V 92 *β* 4. VI 71 2 u. 5. 126 5. 131 3. VII 61 14. Ebenso oft *τελευτᾷ* (V 27 5). *τάττει* (V 41 3). *ἔσχει* u. *γαμέει* (V 92 *β* 6). Wohl ein Nachklang aus der Sprache der Chroniken und Genealogien der Epiker und Logographen. — *ἐν Αἰγύπτῳ*: zu c. 15 11.

Digitized by Google

τῶν συμμάχων ἐστρατήγησε· Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυρος, ὃς ἐς Ἀθήνας ηὐτομόλησε ἐκ Περσέων.

14. Ktesias Exc. Pers. 43 *Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος* (Tochter des Xerxes und der Amestris) *παῖς, ἐπεὶ αὐτῷ δ τε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησαν, ἀπέστη βασιλέως καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν. εἰς Καῦνον δὲ ἅμ' αὐτῶν ἑπομένων εἰσέπλευσε καὶ ἐκέλευσε παραδιδόναι τὴν πόλιν. Καύνιοι δὲ αὐτῷ μὲν παραδιδόναι τὴν πόλιν ἔφασκον, Ἀθηναίοις δὲ τοῖς συνεπομένοις οὐκέτι. εἰσιόντι δὲ τῷ Ζωπύρῳ εἰς τὸ τεῖχος λίθον Ἀλκίδης Καύνιος ἐμβάλλει εἰς τὴν κεφαλήν. καὶ οὕτω Ζώπυρος ἀποθνήσκει. Ἄμηστρις δὲ ἡ μάμμη τὸν Καύνιον ἀνεσταύρωσεν.* Vgl. auch IV 43 6.

Digitized by Google

GEÄNDERTE LESARTEN.

(Vgl. des Herausgebers zweite Textausgabe, 1884).

III. **1** 6 *Ἀμάσι* Dietsch 22 ⟨*Καμβύσης*⟩ **4** 3 *οἱ ἦν* R **9** 16 *ἀγαγεῖν* s **12** 19 ⟨*ἐπὶ*⟩ **13** 12 ⟨*καὶ*⟩ **16** 18 ⟨*ἐν γῇ*⟩ **17** 1 *ἐβουλεύετο* **20** 3 ⟨*τε*⟩ **22** 7 *χρύσεον* die Hss. aufser *R* *στρεπτὸν* ohne *τὸν* desgl. 9 *αὐτῶν* s **23** 3 ⟨*ἔφη*⟩ Krüger 8 *ἐγένοντο* **26** 3 *ἀπέχει* 16 ⟨*καὶ*⟩ **28** 3 *ἑωυτὸν* **31** 2 *ἐπισπομένην R* 21 *αὐτῷ* **33** 2 ⟨*μανεὶς*⟩ 3 *γενετῆς* van Herwerden **34** 10 [*τοιάδε*] Kallenberg 15 [*τελέσαι*] **39** 9 [*ἄλλα*] **45** 7 ⟨*ὧν*⟩ **47** 6 ⟨*τε*⟩ **48** 13 ⟨*τῶν*⟩ **53** 6 *οὔ κως ἐνώρα . . .* **57** 7 *γενομένων* **60** 16 ⟨*ἀνὴρ*⟩ **61** 11 ⟨*τὸ*⟩ **64** 13 *καιρίην* Blomfield **67** 2 [*ἐπιβατεύων — Κύρου*] **69** 2 *δὴ* **79** 5 *ἔθεον ἔξω* 12 *εὑρίσκοιεν* **80** 29 [*ἀρχὰς*] **82** 23 *μούναρχος* ohne *ἐών* Cobet **85** 19 [*τῇ θηλέῃ*] 20 [*τὸν ἵππον*] Cobet **86** 2 *κατὰ τὰ* 3 [*κατὰ*] **88** 8 ⟨*ἐν*⟩ Schweighäuser **93** 6 *τῇσι* Herold **94** 9 ⟨*πλεῖστον*⟩ **95** 4 *λογιζομένων* 7 *συντιθέμενον* Eltz **98** 1 [*ἀπ᾽ οὗ — κομίζουσι*] **99** 2 ⟨*καὶ*⟩ **100** 4 ⟨*τι*⟩ **102** 3 [*καὶ — Ἰνδῶν*] **102** 13 ⟨*σφι*⟩ Gomperz ⟨*τὸ*⟩ *ἀναφορεουένη* van Herwerden 20 ⟨*τούτου*⟩ **106** 5 ⟨*τὰ*⟩ Krüger **107** 6 [*θυμιῶντες*] 8 [*λαμβάνουσι*] **108** 19 *δὲ δὴ* **111** 15 [*αὐτῶν*] *R* 16 [*τῶν ὑποζυγίων*] Gomperz **115** 8 [*ὁ Ἡριδανός*] Cobet 9 *οὐκὶ βαρβαρικὸν ABC* **116** 10 *αὐταί* **127** 14 ⟨*ἂν*⟩ Schäfer **128** 1 *τῶν PR* 9 *περιαιρεόμενον* **130** 6 *ἑωυτὸν* **131** 6 [*καὶ ἔχων οὐδὲν*] van Herwerden **132** 10 *ἦν τε* **137** 16 *τὰ* **139** 17 *γενέσθαι.*" *πάντως τοίνυν* **140** 7 *δὴ* **142** 7 ⟨*ταῦτα*⟩ **143** 1 ⟨*ἀνὴρ*⟩ 4 *δὴ ἔτι* **146** 1 *δὴ* **155** 29 *ἀμυνόντων* Bähr 30 *ἐγχειρίδιον* **156** 1 ⟨*πολλὰ*⟩ van Herwerden **157** 2 *τῶν CP* *δοκιμοτάτων* 7 ⟨*παρ᾽*⟩

Druck von J. B. Hirschfeld in Leipzig.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google